§. 26. *πλάσασθαι ψευδῆ*] Suidas habet *πλάσαι ψ.*, at ubi hoc verbum translate dictum notionem mentiendi, comminiscendi habet, mediali forma efferri solet, multo rarius activa. V. nos ad Commentar. II, 6, 37.

τῶν ἀπαιδεύτων — εἶναι] V. ad I, 2, 3.

παρ' οἷς μὲν ἐπεχείρει κτἑ.] H. e. apud quos amicitia plurimum valere studebat, eos, qui principem in amicitia tenebant locum, calumniando illos conciliandos esse existimabat. Ad *τοὺς πρώτους* ex antecedentibus repetendum est *φιλίᾳ*.

§. 27. *ὅτι — δύναιτο καὶ ἐθέλοι ἄν*] Nescio, cur Poppo particula *ἄν* ita offensus sit,

δροις ἐπειρᾶτο χρῆσθαι. Ὥςπερ δέ τις ἀγάλλεται ἐπὶ 26
θεοσεβείᾳ καὶ ἀληθείᾳ καὶ δικαιότητι, οὕτω Μένων ἠγάλλετο τῷ ἐξαπατᾶν δύνασθαι, τῷ πλάσασθαι ψευδῆ, τῷ φίλους διαγελᾶν· τὸν δὲ μὴ πανοῦργον τῶν ἀπαιδεύτων ἀεὶ ἐνόμιζεν εἶναι. Καὶ παρ' οἷς μὲν ἐπεχείρει πρωτεύειν φιλίᾳ, διαβάλλων τοὺς πρώτους τούτους ᾤετο δεῖν κτήσασθαι. Τὸ δὲ πειθομένους τοὺς στρατιώτας 27
παρέχεσθαι ἐκ τοῦ συναδικεῖν αὐτοῖς ἐμηχανᾶτο. Τιμᾶσθαι δὲ καὶ θεραπεύεσθαι ἠξίου ἐπιδεικνύμενος, ὅτι πλεῖστα δύναιτο καὶ ἐθέλοι ἂν ἀδικεῖν. Εὐεργεσίαν δὲ κατέλεγεν, ὁπότε τις αὐτοῦ ἀφίστατο, ὅτι χρώμενος αὐτῷ οὐκ ἀπώλεσεν αὐτόν. Καὶ τὰ μὲν δὴ ἀφανῆ ἔξεστι 28
περὶ αὐτοῦ ψεύδεσθαι· ἃ δὲ πάντες ἴσασι, τάδ' ἐστί.

quod aut ita accipi potest, ut ὅτι ad superlativum referatur (v. ad I, 1, 6.), aut ita, ut quasi duae constructiones (ὅτι c. verbo fin. et partic.) in unam confusae sint. V. nos in Gr. T. II. §. 771, 5. — §. 25. ὅσους μὲν ἂν αἰσθ.] v. adn. — §. 26. οὕτω Μένων] sic A B D et Suidas; reliqui οὕτω καὶ Μ. — τῶν ἀπαιδεύτων ἀεὶ ἐνόμ.] sic A E; ἀπαίδευτον ἀεὶ ἐνόμ. B; τῶν ἀπαιδεύτων ἐνόμ. D; reliqui ἀπαίδευτον ἐνόμιζεν. — κτήσασθαι] κτήσεσθαι F G H I K et Ald. — §. 27. παρέχεσθαι] παρασχέσθαι B F G I K M 1, 4. — ὁπότε — ἀφίστατο] v. adn.

ut vel invitis libris eam delendam existimet. Ἂν referendum est ad conditionem suppressam. Verte: *indem er zeigte, daſs, wenn es die Umstände mit sich brächten, er den gröſsten Schaden zufügen könnte und dazu entschlossen wäre.* Exempla coniunctionis ὅτι c. opt. et ἂν iunctae ubivis leguntur. V. Buttm. §. 139. G. 1. Rost. §. 184, 2. Kühner. T. II. §. 770, 1. (Gr. schol. §. 329, 5.) Cf. infra III, 1, 2. extr.

ὁπότε τις αὐτοῦ ἀφίστατο] Quum h. l. actio repetita significetur, exspectamus optativum ἀφίσταιτο (v. ad I, 2, 7.), uti ediderunt Schneiderus et Krügerus, quum apud Suidam legeretur ὅτε — ἀφίσταιτο; et sic in editionibus quidem Suidae legitur; nam Leidensis liber et ὁπότε et ἀφίστατο habet cum libris Xenophontis, uti Dindorfius observavit. Mutatio scripturae vulgatae ἀφίστατο in ἀφίσταιτο est illa quidem tam in promptu, ut ne ego quidem id recipere dubitaturus fuerim; at quum etiam supra §. 14. de repetita actione dictum sit: ἐπεὶ δὲ ἤρξαντο νικᾶν, codicum scripturam retinendam putavi. Huc accedit locus singularis V, 5, 14., ubi primum indicativus, dein optativus de repetita actione positus est: καὶ εἴ τις αὐτοῖς φίλος ἦν —, τούτων ἀπειχόμεθα· τοὺς δὲ πολεμίους αὐτῶν, ἐφ' οὓς αὐτοὶ ἡγοῖντο, κακῶς ἐποιοῦμεν.

ὅτι χρώμενος — αὐτόν] Haec verba pendent a verbis εὐεργεσίαν κατέλεγεν: beneficium iactabat illud, quod, quum eius consuetudine uteretur, eum non perdidisset.

Παρὰ Ἀριστίππῳ μὲν ἔτι ὡραῖος ὢν στρατηγεῖν διεπράξατο τῶν ξένων, Ἀριαίῳ δὲ βαρβάρῳ ὄντι, ὅτι μειρακίοις καλοῖς ἥδετο, οἰκειότατος ἔτι ὡραῖος ὢν ἐγένετο, αὐτὸς δὲ παιδικὰ εἶχε Θαρύπαν ἀγένειος ὢν γενειῶντα.
29 Ἀποθνησκόντων δὲ τῶν συστρατηγῶν, ὅτι ἐστράτευσαν ἐπὶ βασιλέα ξὺν Κύρῳ, ταὐτὰ πεποιηκὼς οὐκ ἀπέθανε, μετὰ δὲ τὸν τῶν ἄλλων θάνατον στρατηγῶν τιμωρηθεὶς ὑπὸ βασιλέως ἀπέθανεν, οὐχ ὥςπερ Κλέαρχος καὶ οἱ ἄλλοι στρατηγοὶ ἀποτμηθέντες τὰς κεφαλάς, ὅςπερ τάχιστος θάνατος δοκεῖ εἶναι, ἀλλὰ ζῶν αἰκισθεὶς ἐνιαυτὸν ὡς πονηρὸς λέγεται τῆς τελευτῆς τυχεῖν.

30 Ἀγίας δὲ ὁ Ἀρκὰς καὶ Σωκράτης ὁ Ἀχαιὸς καὶ τούτω ἀπεθανέτην. Τούτων δὲ οὔθ' ὡς ἐν πολέμῳ κακῶν οὐδεὶς κατεγέλα, οὔτ' εἰς φιλίαν αὐτοὺς ἐμέμφετο. Ἤστην δὲ ἄμφω ἀμφὶ τὰ πέντε καὶ τριάκοντα ἔτη ἀπὸ γενεᾶς.

§. 29. συστρατηγῶν] sic BDEN pro στρατηγῶν. — ὅτι] ὅτε ABN. — ξύν] sic ABD pro σύν. V. ad II, 1, 17. — ταὐτά] ταῦτα A; ταυτα B; reliqui τὰ αὐτά. — τάχιστος] sic AB DEN pro κάλλιστος. — θάνατος δοκεῖ] sic DEN, θ. δόκει A; reliqui θανάτων ἐδόκει. — τῆς τελευτῆς] sic ABD; reliqui om. τῆς. — §. 30. οὔθ' ὡς ἐν πολέμῳ κακῶν οὐδείς] sic AB pro οὐδεὶς οὔθ' ὡς ἐν π. κακῶν. — εἰς] sic AB pro ἐς. — δὲ ἄμφω] sic AB pro τὲ ἄμφω. — τὰ πέντε καὶ τριάκοντα] sic ABDEN pro τετταράκοντα.

§. 28. Ἀριστίππῳ] V. ad I, 1, 10. et 2, 6.

Θαρύπαν] Quis fuerit, non constat. De nomine v. Poppo-nem ad Thuc. II, 80. Part. III. Vol. II. p. 392. et ed. min. Goth. p. 151.

§. 29. ἀποτμηθέντες τὰς κεφαλάς] V. ad §. 1.

§. 30. κατεγέλα] καταγελᾶν τινος saepe contemnendi et vituperandi vi ponitur.

εἰς φιλίαν] V. ad I, 9, 16.

ἀμφὶ τά] V. ad I, 2, 9.

LIBER TERTIUS.

I. Ὅσα μὲν δὴ ἐν τῇ Κύρου ἀναβάσει οἱ Ἕλληνες 1
ἔπραξαν μέχρι τῆς μάχης, καὶ ὅσα, ἐπεὶ Κῦρος ἐτελεύ-
τησεν, ἐγένετο ἀπιόντων τῶν Ἑλλήνων σὺν Τισσαφέρ-
νει ἐν ταῖς σπονδαῖς, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται.
Ἐπεὶ δὲ οἵ τε στρατηγοὶ συνειλημμένοι ἦσαν καὶ τῶν 2
λοχαγῶν καὶ τῶν στρατιωτῶν οἱ συνεπόμενοι ἀπολώλε-
σαν, ἐν πολλῇ δὴ ἀπορίᾳ ἦσαν οἱ Ἕλληνες ἐννοούμενοι
μέν, ὅτι ἐπὶ ταῖς βασιλέως θύραις ἦσαν, κύκλῳ δὲ αὐ-
τοῖς πάντη πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι ἦσαν,
ἀγορὰν δὲ οὐδεὶς ἔτι παρέξειν ἔμελλεν, ἀπεῖχον δὲ τῆς
Ἑλλάδος οὐ μεῖον ἢ μύρια στάδια, ἡγεμὼν δ' οὐδεὶς
τῆς ὁδοῦ ἦν, ποταμοὶ δὲ διεῖργον ἀδιάβατοι ἐν μέσῳ

Cap. I. §. 1. *ἐν τῇ Κύρου ἀν.*] sic edidi cum A B D E pro vulgata *ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου*, quae a glossatoribus ex V, 1, 1. VII, 1, 1. huc translata videtur. — §. 2. *καὶ τῶν στρατιωτῶν*] sic A B D H L; reliqui om. *τῶν*. — *ἐννοούμενοι*] sic A B D E N Q pro *ἐνθυμούμενοι*. Cf. §. 3., unde Poppo huc tractum non recte putat. De seq. *μέν* v. adn. — *οὐ μεῖον*] sic A B D E N pro *πλέον*.

Cap. I. §. 1. *καὶ ὅσα — ἐγένετο — ἐν ταῖς σπονδαῖς*] Sic verba iungenda sunt; *ἐν ταῖς σπονδαῖς*, induciarum tempore, quamdiu induciae nondum ruptae erant. Cf. IV, 1, 1.

§. 2. *οἵ τε στρατηγοί*] Clearchus, Proxenus, Meno. V. II, 5, 31.

ἐννοούμενοι μέν] Particulam *μέν* cum Dindorfio addidi ex A B H I K L M O; oratio ita instituta est, quasi secuturum esset *ἐννοούμενοι δέ* (vel simile participium), *ὅτι κύκλῳ κτἑ.*

ἐπὶ ταῖς β. θύραις] V. ad II, 4, 4. De seq. *ἦσαν* v. ad I, 2, 21.

μύρια στάδια] „Congruit fere hic numerus cum distantia recta inde ab Epheso. Sedecim quidem stadiorum milium iter confecerant, sed magno illud quidem circuitu multisque ambagibus, cf. Haken. I. p. 315. Rennel. p. 137." LJON.

τῆς οἴκαδε ὁδοῦ, προὐδεδώκεσαν δὲ αὐτοὺς καὶ οἱ σὺν Κύρῳ ἀναβάντες βάρβαροι, μόνοι δὲ καταλελειμμένοι ἦσαν οὐδὲ ἱππέα οὐδένα σύμμαχον ἔχοντες, ὥςτε εὔδηλον ἦν, ὅτι νικῶντες μὲν οὐδένα ἂν κατακάνοιεν, ἡττηθέντων δὲ αὐτῶν οὐδεὶς ἂν λειφθείη.
3 Ταῦτα ἐννοούμενοι καὶ ἀθύμως ἔχοντες ὀλίγοι μὲν αὐτῶν εἰς τὴν ἑσπέραν σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πῦρ ἀνέκαυσαν, ἐπὶ δὲ τὰ ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτην τὴν νύκτα, ἀνεπαύοντο δὲ ὅπου ἐτύγχανεν ἕκαστος, οὐ δυνάμενοι καθεύ-

προὐδεδώκεσαν] v. adn. — οὐδένα ἂν κατακάνοιεν] sic ABDE; οὐδ' ἂν ἔχοντες κ. K; οὐδ' ἂν ἕνεκα κ. Ald.; reliqui οὐδ' ἂν ἕνα κ., quod si maiore codicum auctoritate niteretur, non dubitassem recipere. V. nos ad Commentar. I, 6, 2. — κατακάνοιεν] v. adn. — §. 3. πῦρ ἀνέκαυσαν] v. adn. — ταύτην τὴν νύκτα] sic ABDE pro ταύτῃ τῇ νυκτί. — ἀνεπαύοντο] sic ABDEN pro ἀνεπαύετο. — ἐτύγχανεν] ἐκέλευσεν.

προὐδεδώκεσαν] Sic bene scripsit Schaeferus; nam ABFGHIKL et Ald. exhibent προὐδεδώκασι, in quo plusquamperfectum latere aperte demonstrat augmentum; reliqui habent προδεδώκασι, quod rationi temporum, quae est h. l., repugnat.

οὐδένα ἂν κατακάνοιεν] Stephanus ante verbum κατακ. inserendum censet φεύγοντα, quod ideo non requiritur, quod antecedit νικῶντες. Geminus locus ab interpp. affertur II, 4, 6. extr. Κατακάνοιεν scripsi cum Dindorfio pro κατακαίνοιεν, quod omnes codd. habent praeter A et E. De aoristo κατακανεῖν v. nos ad I, 6, 2. Dindorfius correxit κατακάνοιεν, quum et sententia aoristum postulet, et in optimo codice A sit κατακάνοι ἄν, et hunc habuerit necesse sit, qui interpretationis in cod. E repertae κατακτάνοιεν auctor fuit.

§. 3. Ταῦτα ἐννοούμενοι] De asyndeto v. ad I, 1, 9.; de appositione distributiva ad I, 7, 15.; de ὀλίγοι μέν —, ὀλίγοι δέ ad I, 9, 10.

εἰς τὴν ἑσπέραν] vespertino tempore. V. nos in Gr. T. II. §. 603, b. 2. b).

πῦρ ἀνέκαυσαν] Sic recte recentiores edd. cum D et regio ap. Dorvillium ad Chariton. p. 588., itemque A, sed hic vocabulo πῦρ apostrophum addit (πῦρ' ἀν.), pro πυρὰν ἔκαυσαν, quod reliqui codd. exhibent. Neque male Stephanus scripsit πυρὰ ἀν., h. e. ignes castrenses; sed etiam infra IV, 5, 5. legitur: διεγένοντο δὲ τὴν νύκτα πῦρ καίοντες et οἱ — πῦρ καίοντες οὐ προςίεσαν πρὸς τὸ πῦρ τοὺς ὀψίζοντας. Schneiderus recepit quidem πῦρ ἀνέκαυσαν, sed perperam de ignibus ad cibum praeparandum excitatis intelligit. Ita enim, inquit Dindorfius, quid perversius hac tota sententia fingi posset: pauci cibum sumpserunt, pauci ignem accenderunt ad coquendos cibos? Quod sic dictum est, quasi hi diversi sint ab illis et secundo loco commemorandi.

τὰ ὅπλα] castra. V. ad II, 4, 15.

ἀνεπαύοντο] V. ad I, 6, 2.

δειν ὑπὸ λύπης καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων, οὓς οὔποτ' ἐνόμιζον ἔτι ὄψεσθαι. Οὕτω μὲν δὴ διακείμενοι πάντες ἀνεπαύοντο.

Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος, ὃς 4
οὔτε στρατηγὸς οὔτε λοχαγὸς οὔτε στρατιώτης ὢν συνηκολούθει, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν ξένος ὢν ἀρχαῖος· ὑπισχνεῖτο δὲ αὐτῷ, εἰ ἔλθοι, φίλον αὐτὸν Κύρῳ ποιήσειν, ὃν αὐτὸς ἔφη κρείττω ἑαυτῷ νομίζειν τῆς πατρίδος. Ὁ μέντοι Ξενοφῶν ἀναγνοὺς 5
τὴν ἐπιστολὴν ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ περὶ

χανον BE. — μὲν δή] sic AB; reliqui om. δή. V. ad I, 10, 18. — §. 4. ὑπισχν. δὲ αὐτῷ, εἰ ἔλθοι, φίλον αὐτὸν K.] sic B, eodemque ducit A, in quo est ὑπ. δὲ αὐτὸν εἰ ἔλθοι φ. αὐτὸν K.; ὑπ. δὲ εἰ ἔλθοι φ. αὐτὸν K. FGIK; ὑπ. δὲ εἰ ἔλθοι φ. αὐτῷ K. HL et Ald.; reliqui ὑπ. δὲ αὐτῷ εἰ ἔλθοι φ. K.; Born. e coni. ὑπ. δὲ αὐτὸν εἰ ἔλθοι φίλον K.

ὅπου ἐτύγχανεν] De verbo τυγχάνειν sine participio ὤν posito v. nos ad Commentar. I, 6, 2. Adde infra V, 4, 34: ὠρχοῦντο ἐφιστάμενοι ὅπου τύχοιεν. De plurali πατρίδες v. Sturz. Lex. Xen. T. III. p. 475.; cf. infra VII, 1, 29.; de asyndeto in singulorum nominum enumeratione usurpato v. nos ad II, 4, 28. extr.

§. 4. Ξενοφῶν] „Hic de se tanquam de homine etiamnum ignoto loqui potuit, quum, quae I, 8, 15. 16. II, 1, 12. relata sunt, fere plane ignotum eum reliquerint." KRÜGER. de Xen. vita quaestt. critt. p. 15.

ὃς — συνηκολούθει, ἀλλὰ — αὐτόν] De relativae structurae in demonstrativam transitu v. ad I, 1, 2.

κρείττω] „utiliorem; ut proinde Xenophon quoque plus ab eo commodi exspectare posset, quam a civitate Atheniensium." WEISK. De voc. κρείττων cf. III, 2, 21. IV, 6, 11.

§. 5. ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ] Xenophon modeste de se tanquam ignoto homine loquens §. 4. dixerat Ξενοφῶν Ἀθηναῖος, de Socrate autem tanquam claro viro loquens apte dicit: Σωκράτει τῷ Ἀθηναίῳ. Cf. nos in Gr. T. II. §. 485. not. 4. (Gr. schol. §. 244. not. 5.) Porro observandae sunt hae duae locutiones: ἀνακοινοῦσθαι aut κοινοῦσθαί τινι περί τινος, h. e. deliberare cum aliquo de aliqua re, et ἀνακοινοῦν τινι περί τινος, h. e. aliquid cum aliquo communicare, aliquem de aliqua re consulere, uti paullo post: ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας. VI, 1, 22. τοῖς θεοῖς ἀνακοινῶσαι. Medii exempla ubivis leguntur, cf. infra V, 6, 36. Commentar. III, 7, 3. V. Schneiderum ad Anab. V, 6, 36. et Sturz. L. X. T. I. p. 198 sq. Sed significationis discrimen modo propositum neglexit Xen. in Hellen. VII, 2, 20: εἰ δέ τι δυσχερές σοί ἐστιν —, ἀνακοίνωσαι τοῖς θεοῖς θυόμενος. Quod autem Moeris Atticista p. 20. Piers. ἀνακοινῶσαι Ἀττικῶς, ἀνακοινώσασθαι Ἑλληνικῶς dici statuit, falsum esse vel haec a nobis allata exempla ostendunt. Rectius Suidas: ἀνακοινώσασθαι καὶ ἀνακοινῶσαι ἄμφω λέγουσιν. In simplici verbo Xenophon mediali

τῆς πορείας. Καὶ ὁ Σωκράτης ὑποπτεύσας, μή τι πρὸς τῆς πόλεώς οἱ ἐπαίτιον εἴη Κύρῳ φίλον γενέσθαι, ὅτι ἐδόκει ὁ Κῦρος προθύμως τοῖς Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθήνας συμπολεμῆσαι, συμβουλεύει τῷ Ξενοφῶντι ἐλθόντα εἰς Δελφοὺς ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πο-
6 ρείας. Ἐλθὼν δὲ ὁ Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω, τίνι ἂν θεῶν θύων καὶ εὐχόμενος κάλλιστα καὶ ἄριστα ἔλθοι τὴν ὁδόν, ἣν ἐπινοεῖ, καὶ καλῶς πράξας σωθείη. Καὶ ἀνεῖλεν αὐτῷ ὁ Ἀπόλλων θεοῖς, οἷς ἔδει, θύειν. Ἐπεὶ δὲ πάλιν ἦλθε, λέγει τὴν μαντείαν τῷ Σωκράτει.
7 Ὁ δ᾽ ἀκούσας ᾐτιᾶτο αὐτόν, ὅτι οὐ τοῦτο πρῶτον ἠρώ-

§. 5. οἱ] om. ABFGHIK. — ἐπαίτιον] v. adn. — ἐπὶ τὰς Ἀθήνας] ἐς τὰς Ἀθ. A; ἐπὶ ταῖς Ἀθήναις BCHIKL et Ald. — ἐλθόντα] sic ABFGIKO pro ἐλθόντι; v. adn. — §. 6. κάλλιστα] sic AB pro κάλλιστ᾽ ἄν, quod per se non spernendum. V. ad I, 3, 6. — §. 7. πρῶτον] sic ABDN pro πρό-

tantum forma et quidem utraque significatione et deliberandi et consulendi usus est; nam V, 6, 27. ex optimis codd. legendum κοινούμενον. V. Sturz. L. X. T. II. p. 762.

ὑποπτεύσας, μή τι πρὸς τῆς πόλεώς οἱ ἐπαίτιον εἴη κτέ.] metuens, ne quid ei a civitate (a civibus) crimini daretur, quod amicitiam iungeret cum Cyro. De ὑποπτεύειν μή v. ad III, 5, 3. ἐννοούμενοι, μή — ἔχοιεν. Cum Dindorfio recepi ἐπαίτιον, quod habent A FGI correctus et K pro ὑπαίτιον, quod rarioris vocabuli interpretamentum videtur esse. De praepositione πρός cf. VII, 6, 33: ἔχων μὲν ἔπαινον πολὺν πρὸς ὑμῶν ἀπεπορευόμην. V. nos in Gr. T. II. §. 616. I. 2. c. p. 306 sq. (Gr. schol. §. 298. I. 2. c.)

ἐπὶ τὰς Ἀθήνας συμπολεμῆσαι] „in postrema parte belli Peloponnesiaci." POPPO.

συμβουλεύει τῷ Ξ. ἐλθόντα — ἀνακοινῶσαι] V. ad I, 2, 1. De re cf. Cicer. de Divin. I, 54.

§. 6. ἣν ἐπινοεῖ] Exspectes optativum; at v. adnotata in I, 3, 14.

καλῶς πράξας] prospero successu. Cf. III, 4, 6. οὕτω πράξαντες, hac usi fortuna.

θεοῖς, οἷς ἔδει, θύειν] Haec verba sic posita nullam aliam interpretationem admittunt, nisi hanc: ut diis eis, quibus oporteret, sacra faceret. Intelligendi sunt dii ei, quibus, si quis expeditionem, qualem Xenophon in mente habebat, suscepturus erat, vel lege vel more sanctum erat, ut sacra fierent. Certi igitur erant dii. Quod autem articulus τοῖς additus non est, id in vocabulo θεοί, quod, etiam ubi certi dii intelliguntur, saepe articulo destitutum est, offendere non potest. V. praeter grammaticos Bornemannum ad Xen. Symp. IV, 47. p. 141. Certos autem intelligendos esse deos apparet ex §. 8. θυσάμενος οἷς ἀνεῖλεν ὁ θεός et ex VI, 1, 22: ἐθύετο τῷ Διὶ τῷ βασιλεῖ, ὅσπερ αὐτῷ μαντευτὸς ἦν ἐκ Δελφῶν. Quod si igitur hunc locum ea quam proposuimus ratione interpretamur, neque opus est cum

τα, πότερον λῷον εἴη αὐτῷ πορεύεσθαι ἢ μένειν, ἀλλ' αὐτὸς κρίνας ἰτέον εἶναι τοῦτ' ἐπυνθάνετο, ὅπως ἂν κάλλιστα πορευθείη. Ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ', ἔφη, χρὴ ποιεῖν, ὅσα ὁ θεὸς ἐκέλευσεν. Ὁ μὲν δὴ Ξε- 8
νοφῶν οὕτω θυσάμενος οἷς ἀνεῖλεν ὁ θεὸς ἐξέπλει καὶ καταλαμβάνει ἐν Σάρδεσι Πρόξενον καὶ Κῦρον μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω ὁδόν, καὶ συνεστάθη Κύρῳ.
Προθυμουμένου δὲ τοῦ Προξένου, καὶ ὁ Κῦρος συμ- 9
προυθυμεῖτο μεῖναι αὐτόν· εἶπε δέ, ὅτι, ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψει αὐτόν. Ἐλέγετο δὲ ὁ στόλος εἶναι εἰς Πισίδας.

τερον. — λῷον] sic ABD pro λώιον. — εἴη αὐτῷ] sic AB pro αὐτῷ εἴη. — §. 9. συμπρουθυμεῖτο] Quod ADE exhibent συνεπιπροθυμεῖτο, id nihil aliud esse nisi συνεπροθυμεῖτο suspicatur Lobeck. ad Phryn. p. 28. — στρατεία] στρατιά AFGHIKL et Ald. V. ad V, 4, 18. — ἀποπέμψει] v. adn.

Schneidero e Buttmanni coniectura scribere: θεούς, οἷς ἔδει θύειν, neque cum Langio et Halbkarto: τοὺς θεούς, οἷς ἔδ. θ., neque cum Bornemanno, Krügero, aliis statuere, dativum θεοῖς h. l. pro accusativo per eam structuram positum esse, quae vocatur attractio inversa, de qua vide ad I, 4, 15.: cuius structurae quotquot reperiuntur exempla, longe aliter comparata sunt, atque id, quod h. l. legitur.

§. 7. πότερον] V. ad I, 3, 18.

§. 8. θυσάμενος οἷς ἀνεῖλεν ὁ θεός] Scil. θύειν, quod ἀπὸ κοινοῦ e θυσάμενος repetendum est. V. ad I, 2, 15.

ὁρμᾶν τὴν ἄνω ὁδόν] iter in superiorem Asiam festinanter ingredi. V. nos in Gr. T. II. §. 547, 2. (Gr. schol. §. 278, 2.) et Bornemannum ad Cyrop. VIII, 6, 20: ὥρμα δὴ ταύτην τὴν στρατείαν, ubi comp. Herod. VIII, 106: τὸ στράτευμα τὸ Περσικὸν ὅρμα (pro ὥρμα) ὁ βασιλεὺς ἐπὶ τὰς Ἀθήνας, et passive V, 76. ἐξέλασιν ὁρμηθέντες.

συνεστάθη] commendatus est (*wurde vorgestellt*). Cf. infra VI, 1, 23. et nos ad Commentar. I, 6, 14.

§. 9. συμπρουθυμεῖτο μεῖναι αὐτόν] simul operam dabat, ut is maneret. Cf. VII, 2, 24. Cum ὅπως et coniunctivo iunctum legitur VII, 1, 5. συμπροθυμεῖσθαι, ὅπως διαβῇ τὸ στράτευμα. De augmento v. Breitenb. ad Ages. II, 1., ubi recte legitur προεθυμεῖτο pro ἐπροθυμεῖτο.

εἶπε δέ, ὅτι, ἐπειδὰν — λήξῃ, — ἀποπέμψει] pro vulgari: εἶπε δέ, ὅτι, ἐπειδὴ — λήξειεν, — ἀποπέμψοι. V. ad I, 3, 14. Ceterum pro ἀποπέμψει Bornemannus et Dindorfius cum B ediderunt ἀποπέμψειν (quo etiam A ducit, qui habet ἀποπέμπειν), de qua duarum structurarum (εἰπεῖν ὅτι c. verbo fin. et εἰπεῖν c. inf.) in unam confusione v. nos in Gr. T. II. §. 771, 5. Infra VI, 1, 29: νομίζω —, ὅτι — τοῦτον — στασιάζειν. VII, 5, 8. ἐμέμνητο, ὡς — παραδώσειν. Exemplorum nubem coegit Schwid op. progr. l. d. p. 10 sq.

εἰς Πισίδας] V. I, 1, 11.

10 Ἐστρατεύετο μὲν δὴ οὕτως ἐξαπατηθεὶς οὐχ ὑπὸ Προξένου· οὐ γὰρ ᾔδει τὴν ἐπὶ βασιλέα ὁρμήν, οὐδὲ ἄλλος οὐδεὶς τῶν Ἑλλήνων πλὴν Κλεάρχου· ἐπεὶ μέντοι εἰς Κιλικίαν ἦλθον, σαφὲς πᾶσιν ἤδη ἐδόκει εἶναι, ὅτι ὁ στόλος εἴη ἐπὶ βασιλέα. Φοβούμενοι δὲ τὴν ὁδὸν καὶ ἄκοντες ὅμως οἱ πολλοὶ δι' αἰσχύνην καὶ ἀλλήλων καὶ
11 Κύρου συνηκολούθησαν· ὧν εἷς καὶ Ξενοφῶν ἦν. Ἐπεὶ δὲ ἀπορία ἦν, ἐλυπεῖτο μὲν σὺν τοῖς ἄλλοις καὶ οὐκ ἐδύνατο καθεύδειν· μικρὸν δ' ὕπνου λαχὼν εἶδεν ὄναρ· ἔδοξεν αὐτῷ, βροντῆς γενομένης, σκηπτὸς πεσεῖν εἰς τὴν
12 πατρῴαν οἰκίαν καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν. Περίφοβος δ' εὐθὺς ἀνηγέρθη, καὶ τὸ ὄναρ πῇ μὲν ἔκρινεν ἀγαθόν, ὅτι ἐν πόνοις ὢν καὶ κινδύνοις φῶς μέγα ἐκ Διὸς ἰδεῖν ἔδοξε· πῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι ἀπὸ Διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι, κύκλῳ δ' ἐδόκει

§. 10. ὑπὸ Προξένου] sic A B pro ὑπὸ τοῦ Πρ. — πᾶσιν ἤδη] sic B D; ἤδη πᾶσιν A; reliqui πᾶσιν. — οἱ πολλοί] οἱ om. A B. — §. 11. ἐδύνατο] ἠδύνατο B; v. nos ad Commentar. I, 4, 14. Cf. infra §. 35. III, 3, 11. 4, 44. IV, 5, 11. 5, 18. 21. VI, 3, 20. 4, 9. 5, 28. Formam ἠδύν. ex optimis codd. recepimus IV, 5, 18. 8, 20. — ὕπνου] sic A B D et Steph. pro ὕπνον, v. adn. — §. 13. ὁποῖόν τι] τι om. A H L. — μέντοι] v. adn. —

§. 10. οὐ γὰρ ᾔδει] Exspectes: οὐ γὰρ οὗτος ᾔδει, at v. ad I, 4, 5.

οἱ πολλοί] „Nam praeter Xeniam et Pasionem I, 4, 7. pauci milites clam abierant.“ WEISK.

δι' αἰσχύνην καὶ ἀλλήλων καὶ Κύρου] et propter pudorem sui veriti, ne ignavi viderentur, et propter reverentiam Cyri (erga Cyrum), ne ingrati ab eo haberentur.

§. 11. ἔδοξεν αὐτῷ κτέ.] Haec verba ἀσυνδέτως (sine γάρ) adiuncta sunt, quia continent argumentum somni. V. nos in Gr. T. II. §. 760. c. (Gr. schol. §. 325. b.) Geminus locus legitur IV, 3, 8. Adde IV, 7, 10: ἔνθα δὴ Καλλίμαχος μηχανᾶταί τι· προέτρεχεν ἀπὸ τοῦ δένδρου κτέ.

ἔδοξεν αὐτῷ — σκηπτὸς πεσεῖν — καὶ — λάμπεσθαι πᾶσαν] Verbum δοκεῖν (videri) et impersonaliter et personaliter usurpatur, h. e. et cum accusativo et infinitivo et cum nominativo et infinitivo construitur; hoc autem loco utraque structura consociata est. De accusativo c. inf. cf. supra I, 4, 18. et nos ad Commentar. III, 5, 14. De Latina lingua v. nos in Gr. Lat. §. 129. not. 1. et ad Tuscul. V, 5, 12.

§. 12. μὴ οὐ δύναιτο] Ex antecedenti ἐφοβεῖτο repetendum est ἀπὸ κοινοῦ participium φοβούμενος. V. adnotata in I, 3, 17. μὴ — καταδύσῃ.

§. 13. Ὁποῖόν τι] Quale fere. V. ad II, 2, 2. Quod dedimus μέντοι pro vulg. μὲν δή, id debetur ingenio Schneideri et confirmatur auctoritate codicis A, in quo est ὁποῖον μέντοι ἐστιν δὴ τό κτέ. Particulae μὲν δή h. l. ferri non possunt. Verba sic

λάμπεσθαι τὸ πῦρ, μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ᾽ εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν.

13 Ὁποῖόν τι μέντοι ἐστὶ τὸ τοιοῦτον ὄναρ ἰδεῖν, ἔξεστι σκοπεῖν ἐκ τῶν συμβάντων μετὰ τὸ ὄναρ. Γίνεται γὰρ τάδε· Εὐθὺς ἐπειδὴ ἀνηγέρθη, πρῶτον μὲν ἔννοια αὐτῷ ἐμπίπτει· Τί κατάκειμαι; ἡ δὲ νὺξ προβαίνει· ἅμα δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς πολεμίους ἥξειν. Εἰ δὲ γενησόμεθα ἐπὶ βασιλεῖ, τί ἐμποδὼν μὴ οὐχὶ πάντα μὲν τὰ χαλεπώτατα ἐπιδόντας, πάντα δὲ τὰ δεινότατα παθόντας ὑβριζομένους ἀποθανεῖν;

14 Ὅπως δ᾽ ἀμυνούμεθα, οὐδεὶς παρασκευάζεται, οὐδ᾽ ἐπιμελεῖται, ἀλλὰ κατακείμεθα, ὥςπερ ἐξὸν ἡσυχίαν ἄγειν. Ἐγὼ οὖν τὸν ἐκ ποίας πόλεως στρατηγὸν προςδοκῶ ταῦτα πράξειν; ποίαν δ᾽ ἡλικίαν ἐμαυτῷ ἐλθεῖν ἀναμένω; Οὐ γὰρ ἔγωγ᾽

Γίνεται] sic ABD pro *γίγνεται*. V. ad II, 2, 3. — *τάδε· Εὐθύς*] sic primus verba distinxit Schneiderus, neque aliter A; vulgo *τάδε εὐθύς. ἐπειδὴ ἀν.* — §. 14. *ἡσυχίαν ἄγειν*] sic ADN; *ἡσυχιάζειν* E; reliqui *ἡσυχίαν ἔχειν.* — *στρατηγόν*] sic Steph. et, ut videtur, B; etiam interpretationes Amasaei, Leonclavii et vetus Gallica idem exprimunt. Reliqui *στρατόν.* Error natus est e compendio scripturae. IV, 1, 2. *στρατιώταις* recte se habet.

construenda sunt: *ὁποῖόν τί ἐστιν ἰδεῖν τὸ τοιοῦτον ὄναρ.*

πρῶτον μέν] His respondet *ἐκ τούτου* §. 15., ut III, 2, 1. *πρῶτον μέν* — et §. 4. *ἐπὶ τούτῳ.* VI, 1, 5. *πρῶτον μέν* —, §. 7. *μετὰ ταῦτα.*

τί ἐμποδὼν μὴ οὐχὶ — ἀποθανεῖν] V. nos in Gr. T. II. §. 718, 2. (Gr. schol. §. 318, 10.)

πάντα μὲν — πάντα δέ] V. ad I, 9, 10.

ἐπιδόντας] expertos (*erlebend*). Cf. VII, 1, 30. Menkius comp. Herod. I, 32, 2. Lucian. Gall. c. 15. extr.

ὑβριζομένους ἀποθανεῖν] Participium *ὑβριζομένους* accuratius explicatur antecedentibus participiis; hinc oratio *ἀσύνδετος*. Cf. nos ad I, 1, 7. Bene Dindorfius: ea ipsa est *ὕβρις*, quod illa omnia cernenda Graecis et patienda fuerunt.

§. 14. *ὥςπερ ἐξόν*] quasi liceat. De *ὥςπερ*, quasi, participiis addito v. I, 3, 16. et de accusativo absoluto *ἐξόν* ad II, 5, 22.

τὸν ἐκ ποίας πόλεως στρατηγὸν προςδοκῶ ταῦτα πράξειν;] Per breviloquentiam Graecorum propriam duae enuntiationes interrogativae confusae sunt in unam: Ergo ego exspectem, dum dux aliquis haec facturus sit? et e qua civitate hic erit? V. nos in Gr. T. II. §. 843, 2. (Gr. schol. §. 344. not. 8.) et ad Commentar. II, 2, 1. Addit Xenophon verba *τὸν ἐκ ποίας πόλεως*, quia adhuc supererat Lacedaemoniorum dux Chirisophus. Cf. infra III, 2, 27. VI, 1, 26.

ποίαν δ᾽ ἡλικίαν ἐμαυτῷ ἐλθεῖν ἀναμένω;] „Cir-

ἔτι πρεσβύτερος ἔσομαι, ἐὰν τήμερον προδῶ ἐμαυτὸν
15 τοῖς πολεμίοις. Ἐκ τούτου ἀνίσταται καὶ συγκαλεῖ τοὺς
Προξένου πρῶτον λοχαγούς. Ἐπεὶ δὲ συνῆλθον, ἔλε-
ξεν· Ἐγώ, ὦ ἄνδρες λοχαγοί, οὔτε καθεύδειν δύναμαι,
ὥςπερ, οἶμαι, οὐδ' ὑμεῖς, οὔτε κατακεῖσθαι ἔτι, ὁρῶν,
16 ἐν οἵοις ἐσμέν. Οἱ μὲν γὰρ πολέμιοι δῆλον ὅτι οὐ πρό-
τερον πρὸς ἡμᾶς τὸν πόλεμον ἐξέφηναν, πρὶν ἐνόμισαν
καλῶς τὰ ἑαυτῶν παρεσκευάσθαι, ἡμῶν δ' οὐδεὶς οὐδὲν
17 ἀντεπιμελεῖται, ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα. Καὶ
μὴν εἰ ὑφησόμεθα καὶ ἐπὶ βασιλεῖ γενησόμηθα, τί οἰό-

§. 16. *Οἱ μὲν γάρ*] sic BE; *οἱ μέν* A; reliqui *οἱ μὲν γὰρ δή*. — *καλῶς τὰ ἑαυτῶν*] sic AB pro *τὰ ἑ. κ.* — *παρεσκευάσθαι*] *παρασκευάσασθαι* ABDE. — *οὐδέν*] sic BE; om. A; reliqui *οὐδέ*. — §. 18. *οὐκ ἂν ἐπὶ πᾶν ἔλθοι*] sic Hutchins.; *οὐκ ἂν ἔλθοι* ABDE; *οὐκ ἐπιπαρέλθοι* O; *οὐκ ἐπίπαν ἔλθοι* reliqui;

citer quadraginta quattuor annos natus erat. V. de Xen. vita p. 6 sqq. Sed praetorum plerique maiores natu videntur fuisse. Quid Xenophonti ad rem aggrediendam animos fecerit, colligi potest ex V, 9, 22 sqq." KRÜGER. Cf. eundem in quaestt. critt. p. 17. De structura verbi *ἀναμένω* cf. §. 24. et nos in Gr. T. II. §. 637. not. 1. Adde Thuc. III, 2: *νεῶν ποίησιν ἐπέμενον τελεσθῆναι*. VI, 135: *οὐκ ἀνέμεινεν ἡμέραν γενέσθαι*.

§. 17. *Καὶ μήν*] Atqui. V. ad I, 7, 5.

εἰ ὑφησόμεθα] si segniter agemus. Cf. III, 2, 3. V, 4, 26.

ἡμᾶς δὲ — τί ἂν οἰόμεθα παθεῖν;] Subiectum infinitivi, quod alias, ubi idem est subiectum verbi regentis, omitti solet, h. l. propter oppositionis vim additum est; *ἡμᾶς* enim opponitur fratri regis. V. nos in Gr. T. II. §. 646, 1. (Gr. schol. §. 307. not. 4.) Cf. infra VII, 1, 30: *εὔχομαι — ἐμέ γε κατὰ γῆς — γενέσθαι*.

κηδεμών] „Nam Cyrus matrem certe rebus suis faventem habuerat." WEISKIUS.

ἐστρατεύσαμεν] Ubi duae enuntiationes relativae se excipere debebant, Graeci in altera relativum vel in demonstrativum mutare (v. ad I, 1, 2.) vel plane omittere solent, licet posterius relativum in alio casu atque prius ponendum fuerit, uti h. l. Cf. infra III, 2, 5. IV, 7, 2. V. nos in Gr. T. II. §. 799. (Gr. schol. §. 334, 1.) et ad Commentar. I, 4, 12. Enucleatissime hunc grammaticae locum pertractavit Maetznerus ad Lycurg. §. 15. p. 101 sq.

ὡς — ποιήσοντες καὶ ἀποκτενοῦντες] V. ad I, 1, 3.

δοῦλον] V. ad I, 7, 3.

§. 18 *ἐπὶ πᾶν ἔλθοι*] *Ἐπὶ πᾶν ἐλθεῖν* est omnia tentare, nihil intentatum (inexpertum) relinquere. Poppo comparat Soph. O. R. 265. (260.): *ὑπερμαχοῦμαι κἀπὶ πάντ' ἀφίξομαι*, Bornemannus laudat Monkium et Matthiaeum ad Eurip. Hippol. 283. (286.): *ἐς πάντ' ἀφῖγμαι*. De eiusdem potestatis locutione

μεθα πείσεσθαι; ὃς καὶ τοῦ ὁμομητρίου καὶ ὁμοπατρίου ἀδελφοῦ καὶ τεθνηκότος ἤδη ἀποτεμὼν τὴν κεφαλὴν καὶ τὴν χεῖρα ἀνεσταύρωσεν· ἡμᾶς δέ, οἷς κηδεμὼν μὲν οὐδεὶς πάρεστιν, ἐστρατεύσαμεν δ' ἐπ' αὐτὸν ὡς δοῦλον ἀντὶ βασιλέως ποιήσοντες καὶ ἀποκτενοῦντες, εἰ δυναί-
μεθα, τί ἂν οἰόμεθα παθεῖν; Ἆρ' οὐκ ἂν ἐπὶ πᾶν ἔλθοι, 18
ὡς ἡμᾶς τὰ ἔσχατα αἰκισάμενος πᾶσιν ἀνθρώποις φόβον παράσχοι τοῦ στρατεῦσαί ποτε ἐπ' αὐτόν; Ἀλλ' ὅπως
τοι μὴ ἐπ' ἐκείνῳ γενησόμεθα, πάντα ποιητέον. Ἐγὼ 19
μὲν οὖν, ἔστε μὲν αἱ σπονδαὶ ἦσαν, οὔποτε ἐπαυόμην ἡμᾶς μὲν οἰκτείρων, βασιλέα δὲ καὶ τοὺς σὺν αὐτῷ μα-

v. adn. — ἔσχατα] sic ABDEMN pro αἴσχιστα. — παράσχοι] sic ABDE pro παράσχῃ, v. adn. — τοῦ στρατεῦσαι] v. adn. — ποτὲ ἐπ' αὐτόν] v. adn. — §. 19. ἔστε] sic Porsonus; codd. ἔστ' ἄν. Idem vitium in multis codd. §. 28.

πάντα ποιεῖν, quae paullo post legitur, v. Zeunium ad Cyrop. V, 4, 26.

ὡς — παράσχοι] De ὡς finali post optativum et ἄν cum optativo sociato v. ad I, 3, 17.

ἡμᾶς τὰ ἔσχατα αἰκισάμενος] De duplici accusativo v. ad I, 3, 3.

φόβον — τοῦ στρατεῦσαι] Eleganter A exhibet τοῦ μὴ στρατεῦσαι. Idem codex etiam II, 4, 3. habet: ἵνα καὶ τοῖς ἄλλοις Ἕλλησι φόβος ᾖ ἐπὶ βασιλέα μέγαν μὴ στρατεύειν. V. Popponem ad Thuc. I, 16. p. 37. ed. Goth.

ποτὲ ἐπ' αὐτόν] Sic BD; ἐπ' αὐτὸν ποτέ A; reliqui ποτὲ ἐφ' ἑαυτόν. Utrumque, et ἐπ' αὐτόν et ἐφ' ἑαυτόν, e grammaticae ratione recte sese habet. Ubi ἐπ' αὐτόν dicitur, pronomen refertur ad cogitationem eius, qui loquitur; ubi ἐφ' ἑαυτόν, reflexivum ad cogitationem eius, de quo agitur. In Latino sermone illa ratio multo rarior est, quam haec. Multis exemplis utrumque usum illustravimus ad Commentar. I, 2, 49. Cf. infra IV, 1, 6. in var. scr. VII, 8, 2: εἶπεν ἦ μὴν ἔσεσθαι μηδ' ἐφόδιον ἱκανὸν οἴκαδε ἀπιόντι, εἰ μὴ ἀπόδοιτο τὸν ἵππον καὶ ἃ ἀμφ' αὐτὸν εἶχεν, ubi v. adnotata.

ὅπως τοι μή] Verti potest: *damit wir nur nicht*. De particula asseverativa τοί v. Hartung. *gr. Part.* T. II. p. 346. (qui locum nostro similem attulit, Soph. Trach. 189: τοῦ δ' ἐγὼ κλύων ἀπῆξ', ὅπως τοι πρῶτος ἀγγείλας τάδε πρὸς σοῦ τι κερδάναιμι (*nur um dir zu melden*), Klotzium ad Devar. T. II. p. 737. Kühner. Gr. T. II. §. 705. (Gr. schol. §. 317, 3.)

§. 19. Ἐγὼ μέν] Ego quidem; μέν referendum est ad sententiam suppressam, ut: quid alii fecerint, non curo. V. ad I, 2, 1. Sequens autem μέν: ἔστε μὲν αἱ σπονδαὶ ἦσαν, referendum est ad μέντοι §. 21: ἐπεὶ μέντοι ἐκεῖνοι ἔλυσαν τὰς σπονδάς. Observanda est singulorum membrorum per μέν et δέ oppositio: μὲν — μέν: δὲ — μέν: δέ κτέ. Cf. nos ad Commentar. II, 3, 9. De seq. ἔστε quamdiu significante v. nos ad Commentar. III, 5, 6.; adde Breitenbachium ad Oecon. I, 23.

καρίζων, διαθεώμενος αὐτῶν ὅσην μὲν χώραν καὶ οἵαν
ἔχοιεν, ὡς δὲ ἄφθονα τὰ ἐπιτήδεια, ὅσους δὲ θεράπον-
20 *τας, ὅσα δὲ κτήνη, χρυσὸν δέ, ἐσθῆτα δέ· τὰ δ' αὖ τῶν*
στρατιωτῶν ὁπότε ἐνθυμοίμην, ὅτι τῶν μὲν ἀγαθῶν πάν-
των οὐδενὸς ἡμῖν μετείη, εἰ μή τι πριαίμεθα, ὅτου δ'
ὠνησόμεθα ᾔδειν ἔτι ὀλίγους ἔχοντας, ἄλλως δέ πως
πορίζεσθαι τὰ ἐπιτήδεια ἢ ὠνουμένους ὅρκους ἤδη κα-
τέχοντας ἡμᾶς· ταῦτ' οὖν λογιζόμενος ἐνίοτε τὰς σπον-
21 *δὰς μᾶλλον ἐφοβούμην ἢ νῦν τὸν πόλεμον. Ἐπεὶ μέντοι*
ἐκεῖνοι ἔλυσαν τὰς σπονδάς, λελύσθαι μοι δοκεῖ καὶ ἡ
ἐκείνων ὕβρις καὶ ἡ ἡμετέρα ὑποψία. Ἐν μέσῳ γὰρ ἤδη
κεῖται ταῦτα τὰ ἀγαθὰ ἆθλα, ὁπότεροι ἂν ἡμῶν ἄνδρες

§. 20. *εἰ μή τι*] sic AB; reliqui om. *τὶ*. — *ἔτι*] sic E et Steph.; reliqui *ὅτι*, quod retinuit Born. duas in unam confusas esse structuras statuens (v. nos ad II, 6, 24. in var. script.): quae

διαθεώμενος αὐτῶν ὅσην — χώραν — ἔχοιεν] De genitivo cf. infra III, 3, 18: *ἢν οὖν αὐτῶν ἐπισκεψώμεθα τίνες πέπανται σφενδόνας* (*wenn wir an ihnen betrachten, was etc.*) V. nos in Gr. T. II. §. 528. not. 3. (Gr. schol. §. 273. not. 20.) et ad Commentar. I, 1, 12: *αὐτῶν ἐσκόπει πότερα — ἔρχονται*.

ἐσθῆτα] Hoc vocabulum, ut Latinum vestis, collectivam quam vocant vim (*Kleidung*) habere solet. V. nos in Gr. T. II. §. 407, 2. (Gr. schol. §. 243, 1.) Cf. infra IV, 3, 25. VII, 4, 18. Pluralis rarissimus est, ut Cyrop. I, 3, 2: *ἐν Πέρσαις — καὶ νῦν ἔτι πολὺ καὶ ἐσθῆτες φαυλότεραι καὶ δίαιται εὐτελέστεραι*; sed ibi pluralis *ἐσθῆτες*, ut *δίαιται*, distributive ad pluralem *Πέρσαις* referendus est.

§. 20. *τὰ τῶν στρατιωτῶν*] conditionem nostrorum militum.

ὁπότε ἐνθυμοίμην] V. ad I, 2, 7.

ὅτου δὲ ὠνησόμεθα κτἑ.] Oratio paullo est impeditior, cuius rei caussa in eo posita est, quod post *ἐνθυμοίμην* novum verbum *ᾔδειν* non cum *ὅτι* et verbo finito, sed cum participio coniunctum illatum est. Simplicior et apertior esset oratio, si sic decurreret: *ὁπότε ἐνθυμοίμην, ὅτι τῶν μὲν ἀγαθῶν π. οὐδενὸς ἡμῖν μετείη, εἰ μὴ πριαίμεθα, ὅτου δὲ ὠνήσονται, ἔτι ὀλίγοι ἔχοιεν, ἄλλως δέ πως πορίζεσθαι τὰ ἐπιτήδεια ἢ ὠνουμένους ὅρκοι ἤδη κατέχοιεν ἡμᾶς*. Verbum *ᾔδειν* pendet etiam ab *ὁπότε*, sed non primam enuntiationis sedem occupat, quia verba *ὅτου ὠνησόμεθα* opponuntur verbis *εἰ μὴ πριαίμεθα*. In priore orationis membro *ὁπότε ἐνθυμοίμην* coniunctio *ὁπότε* habet notationem temporalem (*wenn, so oft*); haec temporalis significatio in posteriore membro transit in caussalem: *ὁπότε δὲ ᾔδειν, und da ich wufste*; *ὅτου* est genitivus pretii; v. ad I, 5, 6.; pro *ὠνησόμεθα* propter *ὀλίγους* exspectes *ὠνήσονται*, sed prima persona per attractionem quandam ob antecedens *πριαίμεθα* posita est; de indicativo futuri v. ad I, 3, 14.; verba sic construenda sunt: *ὁπότε δὲ ᾔδειν ὀλίγους ἔτι ἔχοντας ὅτου ὠνησόμεθα* vel potius *ὠνήσονται*.

ἄλλως δέ πως κτἑ.] Verba

ἀμείνονες ὦσιν, ἀγωνοθέται δ' οἱ θεοί εἰσιν, οἳ σὺν ἡμῖν, ὡς τὸ εἰκός, ἔσονται. Οὗτοι μὲν γὰρ αὐτοὺς ἐπιωρκήκασιν, ἡμεῖς δὲ πολλὰ ὁρῶντες ἀγαθὰ στεῤῥῶς αὐτῶν ἀπειχόμεθα διὰ τοὺς τῶν θεῶν ὅρκους· ὥστε ἐξεῖναί μοι δοκεῖ ἰέναι ἐπὶ τὸν ἀγῶνα πολὺ σὺν φρονήματι μείζονι ἢ τούτοις. Ἔτι δ' ἔχομεν σώματα ἱκανώτερα τούτων καὶ ψύχη καὶ θάλπη καὶ πόνους φέρειν· ἔχομεν δὲ καὶ ψυχὰς σὺν τοῖς θεοῖς ἀμείνονας· οἱ δὲ ἄνδρες καὶ τρωτοὶ καὶ θνητοὶ μᾶλλον ἡμῶν, ἢν οἱ θεοί, ὥσπερ τὸ πρόσθεν, νίκην ἡμῖν διδῶσιν. Ἀλλ' ἴσως γὰρ καὶ ἄλλοι ταῦτ' ἐνθυμοῦνται, πρὸς τῶν θεῶν μὴ ἀναμένωμεν ἄλλους ἐφ' ἡμᾶς ἐλθεῖν παρακαλοῦντας ἐπὶ τὰ κάλλιστα ἔργα, ἀλλ'

(Section numbers in the right margin: 22 beside "μῖν, ὡς τὸ εἰκός, ἔσονται. Οὗτοι…"; 23 beside "ἢ τούτοις. Ἔτι δ' ἔχομεν…"; 24 beside "νίκην ἡμῖν διδῶσιν. Ἀλλ' ἴσως…")

quidem ratio hoc quidem loco vix ferenda videtur. — §. 23. *ἔχομεν δὲ καὶ ψ.*] sic B et Steph.; *ἔχομεν δὲ ψ.* A; reliqui *ἔχομέν τε καὶ ψ.*

sic construenda sunt: (*ᾔδειν*) *ἡμᾶς ἤδη* (iam i. e. post initum cum Persis foedus) *ἡμᾶς κατέχοντας* (prohibentes) *ἄλλως πως πορίζεσθαι τὰ ἐπ. ἢ ὠνουμένους.*

ταῦτ' οὖν λογιζόμενος] Haec verba per epanalepsin, quam vocant, addita sunt: cuius generis exempla et apud Graecos et apud Latinos scriptores sunt frequentissima.

§. 21. *ἆθλα*] non cum *τὰ ἀγαθά*, sed cum *κεῖται* iungendum est, ut *κεῖται ἆθλα* pro praedicato accipienda sint.

οἳ σὺν ἡμῖν — ἔσονται] Cyrop. V, 4, 37: *ἢν οἱ θεοί, ὥσπερ νῦν, σὺν ἡμῖν ὦσιν.* V. Breitenb. ad Ages. II, 13. Cf. nos in Gr. T. II. §. 601. (Gr. schol. §. 289, 2.)

§. 22. *αὐτοὺς ἐπιωρκήκασιν*] V. ad II, 4, 7.

τοὺς τῶν θεῶν ὅρκους] V. ad II, 5, 7.

πολὺ σὺν φρονήματι μείζονι] Gravius dictum pro *σὺν πολὺ μ. φρ.* V. ad I, 5, 2.

§. 23. *ἔχομεν — ἔχομεν δὲ καί*] V. ad VII, 7, 42.

ψύχη καὶ θάλπη] Pluralis notat varios frigoris et caloris gradus. V. nos in Gr. T. II. §. 408 p. 29. (Gr. schol. §. 243, 3.) et ad Commentar. I, 4, 13.

οἱ δὲ ἄνδρες] hostes. Haec vel proxima Wyttenbachius vitiosa esse suspicatus legendum coniecit: *οἱ δ' ἄρ' εἰσί*; at saepe ita significantur hostes, uti docuit Krügerus, coll. III, 4, 40. IV, 6, 9. VI, 3, 16. 21., pariterque *ἄνθρωποι* IV, 2, 7. VII, 3, 43. 47.

θνητοί] *Θνητός* alias mortalis, hoc autem loco eum, qui interfici potest, significat.

§. 24. *Ἀλλ' ἴσως γὰρ κτέ.*] Sic saepe apud Graecos enuntiatio, quae alterius rationem reddit, cum hac confunditur. V. nos in Gr. T. II. §. 754, 5. (Gr. schol. §. 324. not. 1.) Nam *ἀλλά* referendum est ad *μὴ ἀναμένωμεν*. Quare recte Schaeferus in Melet. p. 75. post *ἐνθυμοῦνται* pro puncto comma ponendum censet. Ceterum Xenophontis orationem eo tendere, ut Proxeni milites ceteris palmam virtutis praeripiant, bene docet Weiskius.

μὴ ἀναμένωμεν ἄλλους ἐφ' ἡμᾶς ἐλθεῖν] Ne exspe-

ἡμεῖς ἄρξωμεν τοῦ ἐξορμῆσαι καὶ τοὺς ἄλλους ἐπὶ τὴν ἀρετήν. Φάνητε τῶν λοχαγῶν ἄριστοι καὶ τῶν στρατη-
25 γῶν ἀξιοστρατηγότεροι. Κἀγὼ δέ, εἰ μὲν ὑμεῖς ἐθέλετε ἐξορμᾶν ἐπὶ ταῦτα, ἕπεσθαι ὑμῖν βούλομαι, εἰ δ' ὑμεῖς τάττετέ με ἡγεῖσθαι, οὐδὲν προφασίζομαι τὴν ἡλικίαν, ἀλλὰ καὶ ἀκμάζειν ἡγοῦμαι ἐρύκειν ἀπ' ἐμαυτοῦ τὰ κακά.

26 Ὁ μὲν ταῦτ' ἔλεξεν· οἱ δὲ ἀρχηγοὶ ἀκούσαντες ταῦτα ἡγεῖσθαι ἐκέλευον πάντες, πλὴν Ἀπολλωνίδης τις ἦν βοιωτιάζων τῇ φωνῇ· οὗτος δ' εἶπεν, ὅτι φλυαροίη ὅστις λέγει ἄλλως πως σωτηρίας ἂν τυχεῖν ἢ βασιλέα πείσας,
27 εἰ δύναιτο, καὶ ἅμα ἤρχετο λέγειν τὰς ἀπορίας. Ὁ μέν-

§. 24. ἄρξωμεν] sic A B D F G pro ἄρξομεν. — §. 25. τάττετέ με] τάττετέ μοι L; at v. adn. — §. 26. ἀρχηγοί] v. adn. — ταῦτα] v. adn. — πάντες] sic AB pro ἅπαντες. — λέγει] sic ABDE et a pr. m. L pro λέγοι. V. ad I, 9, 10. — §. 27. γινώσκεις] sic ABL pro γιγν. V. ad I, 10, 12. in var.

ctemus, dum alii ad nos veniant. V. ad §. 14.

ἐξορμῆσαι] transitive incitare, ut §. 25. Plura collegit Sturzius in L. Xen. T. II. p. 227.

Φάνητε] In commotiore oratione asyndeton suam atque propriam sedem habet. V. nos in Gr. T. II. §. 760, 2. a. (Gr. schol. §. 325. a.) Cf. infra III, 2, 19. IV, 3, 29. V, 8, 10: ἔπαισά σε, ἀληθῆ λέγεις. VI, 5, 21: ἴωμεν— οὐ δεῖ. 6, 17: καὶ ἀφειλόμην, ὁμολογῶ. V, 8, 21. ἔχοντες pro ἔχοντες γάρ.

§. 25. τάττετέ με ἡγεῖσθαι] Krügerus in Quaestt. critt. de Xen. vita p. 9. et in edd. legendum suspicatur τάττετε ἐμέ; at verissime monet Bornemannus verba ἕπεσθαι et ἡγεῖσθαι inter se opponi. De accusativo c. inf. post τάττειν posito v. ad I, 5, 7.

τὴν ἡλικίαν] V. ad §. 14.

ἐρύκειν] Vocabulum poeticum; ἀπερύκειν, quod idem est poeticum, frequentius est. V. Sturz. L. Xen. T. I. p. 307 sq.

Infinitivus ἐρύκειν pendet ab ἀκμάζειν: credo satis vigere me viribus ad mala a me propulsanda.

§. 26. ἀρχηγοί] Sic optimi codices A B D E N pro vulgata λοχαγοί, quam recentiores editores receperunt omnes. At ut vix credibile est vocabulum rarius ἀρχηγοί a librariis substitutum esse in locum tritissimi vocabuli λοχαγοί, ita contrarium veri est simillimum. Ἀρχηγοί h. l. simpliciter pro στρατηγοῖς accipiuntur; alias factionis duces significat, uti Hellen. III, 3, 5. τὸν ἀρχηγὸν τοῦ πράγματος (factionis). V, 2, 25. ἀρχηγὸς ἑκάτερος τῶν ἑταιριῶν, ubi alii codd. exhibent στρατηγός tanquam interpretamentum.

ἀκούσαντες ταῦτα] Duo codices, B et E, omittunt ταῦτα; Schneiderus uncis seclusit hoc vocabulum, Poppo plane abiecit, scilicet ut evitaretur eiusdem vocabuli repetitio; at Bornemannus id optime tutatus est multis allatis exemplis, in quibus eadem pronominis

τοι Ξενοφῶν μεταξὺ ὑπολαβὼν ἔλεξεν ὧδε· Ὦ θαυμασιώτατε ἄνθρωπε, σύ γε οὐδὲ ὁρῶν γινώσκεις, οὐδὲ ἀκούων μέμνησαι. Ἐν ταὐτῷ γε μέντοι ἦσθα τούτοις, ὅτε βασιλεύς, ἐπεὶ Κῦρος ἀπέθανε, μέγα φρονήσας ἐπὶ τούτῳ πέμπων ἐκέλευε παραδιδόναι τὰ ὅπλα. Ἐπεὶ δὲ 28
ἡμεῖς οὐ παραδόντες, ἀλλ' ἐξωπλισμένοι ἐλθόντες παρεσκηνήσαμεν αὐτῷ, τί οὐκ ἐποίησε πρέσβεις πέμπων καὶ σπονδὰς αἰτῶν καὶ παρέχων τὰ ἐπιτήδεια, ἔςτε σπονδῶν ἔτυχεν; Ἐπεὶ δ' αὖ οἱ στρατηγοὶ καὶ λοχαγοί, ὥς- 29
περ δὴ σὺ κελεύεις, εἰς λόγους αὐτοῖς ἄνευ ὅπλων ἦλθον πιστεύσαντες ταῖς σπονδαῖς, οὐ νῦν ἐκεῖνοι παιόμενοι, κεντούμενοι, ὑβριζόμενοι οὐδ' ἀποθανεῖν οἱ τλήμο-

script. — §. 28. Ἐπεὶ δέ] sic ABFG pro ἐπειδὴ δέ. — ἐξωπλισμένοι] ἐξωπλισάμενοι A; ἐξοπλισάμενοι BDEN. — ἔςτε] sic FGM 1, 4; ὥςτ' ἄν B; reliqui ἔςτ' ἄν. V. §. 19. — §. 29. ὥςπερ δή] ὥςπερ δὲ καί B; ὥςπερ δὴ καί, sed cum asterisco, Steph.

intra brevem verborum intercapedinem repetitio invenitur, ut Cyrop. VI, 3, 6: πέμπει τινὰ ὁ σκοπάρχης ἀγγελοῦντα ταῦτα τῷ Κύρῳ· ὁ δὲ ἀκούσας ταῦτα ἐκείνους μὲν ἐκέλευσε κτέ.

πλὴν Ἀπ. τις ἦν β. τῇ φωνῇ· οὗτος δὲ εἶπεν] Exactior orationis ratio hanc requirebat verborum conformationem: πλὴν Ἀπολλωνίδης τις βοιωτιάζων τῇ φωνῇ εἶπεν. V. adnotata in I, 9, 14. — Βοιωτιάζων τῇ φωνῇ, Boeotorum dialecto utens; nam neque Boeotum eum fuisse, neque omnino Graecum, apparet ex §. 31. De orationis forma cf. ad I, 9, 14.

πείσας] Scil. σωτηρίαν δοῦναι, quod ex antecedentibus verbis σωτηρίας τυχεῖν eliciendum est.

§. 27. μεταξὺ ὑπολαβών] interpellans.

οὐδὲ — οὐδέ] Prius οὐδέ est ne — quidem, posterius neque. Verte igitur: tu quidem ne videns quidem cernis (intelligis rerum nostrarum conditionem), neque audiens meministi (quo modo superiore tempore Persarum rex adversus nos se gesserit). Cf. infra ad IV, 7, 11. Nunquam οὐδὲ — οὐδέ, ut οὔτε — οὔτε, ita usurpantur, ut alterum alteri respondeat. V. nos in Gr. T. II. §. 744, 2. (Gr. schol. §. 321. not. 7.) et ad Commentar. III, 12, 5.

Ἐν ταὐτῷ γε μέντοι ἦσθα τούτοις] Eodem tamen (μέντοι) certe (γέ) eras loco, quo hi (οἱ λοχαγοί). De re v. II, 1, 8.; de particulis γὲ μέντοι ad I, 9, 14.; de ἐν ταὐτῷ v. ad I, 8, 14.; de ἐν ταὐτῷ τούτοις cf. §. 30. εἰς ταὐτὸ ἡμῖν; v. Buttm. §. 113, 2. f. Rost. §. 161. add. 1. Kühner. T. II. §. 576. (Gr. schol. §. 284. 3, 4.)

§. 28. Ἐπεὶ δέ κτέ.] Vid. II, 2, 16 sqq. et II, 3, 1 sqq.

§. 29. ὥςπερ δή] V. ad II, 5, 10. ὅσων δὲ δή.

παιόμενοι, κεντούμενοι, ὑβριζόμενοι] V. ad II, 4, 28.

οὐδ' ἀποθανεῖν],,Nam vincti et custoditi mortem sibi consciscere non possunt." KRÜGER.

νες δύνανται, καὶ μάλ', οἶμαι, ἐρῶντες τούτου; ἃ σὺ
πάντα εἰδὼς τοὺς μὲν ἀμύνασθαι κελεύοντας φλυαρεῖν
30 φῄς, πείθειν δὲ πάλιν κελεύεις ἰόντας; Ἐμοὶ δέ, ὦ ἄν-
δρες, δοκεῖ τὸν ἄνθρωπον τοῦτον μήτε προςίεσθαι εἰς
ταὐτὸ ἡμῖν αὐτοῖς, ἀφελομένους τε τὴν λοχαγίαν σκεύη
ἀναθέντας ὡς τοιούτῳ χρῆσθαι. Οὗτος γὰρ καὶ τὴν πα-
τρίδα καταισχύνει καὶ πᾶσαν τὴν Ἑλλάδα, ὅτι Ἕλλην ὢν
τοιοῦτός ἐστιν.
31 Ἐντεῦθεν ὑπολαβὼν Ἀγασίας Στυμφάλιος εἶπεν·
Ἀλλὰ τούτῳ γε οὔτε τῆς Βοιωτίας προςήκει οὐδὲν οὔτε
τῆς Ἑλλάδος παντάπασιν, ἐπεὶ ἐγὼ αὐτὸν εἶδον, ὥςπερ
Λυδόν, ἀμφότερα τὰ ὦτα τετρυπημένον. Καὶ εἶχεν οὕ-
32 τως. Τοῦτον μὲν οὖν ἀπήλασαν· οἱ δ' ἄλλοι παρὰ τὰς
τάξεις ἰόντες, ὅπου μὲν στρατηγὸς σῶος εἴη, τὸν στρα-
τηγὸν παρεκάλουν, ὁπόθεν δὲ οἴχοιτο, τὸν ὑποστρατη-

ἀμύνασθαι] sic ABD pro ἀμύνεσθαι. — §. 30. Ἐμοὶ δέ] δέ om. AB. — §. 32. ὅπου δ' αὖ] sic A; eodem ducit B, qui habet ὅπου δ' ἄν; reliqui ὅπου δέ. — §. 33. μέσαι ἦσαν]

οἱ τλήμονες] Haec appositio cum magna vi ab ἐκεῖνοι seiuncta et in enuntiationis clausula posita est.

καὶ μάλ' — ἐρῶντες τούτου] quantumvis licet mortem appetant.

πείθειν δὲ πάλιν κελεύεις ἰόντας] iubes autem (nos) regem adeuntes persuadere ei, ut opem nobis ferat. Obiectum personale verbi κελεύεις latet in participio ἰόντας. V. nos in Gr. T. II. §. 414, 5. (Gr. schol. §. 238. 4. e.) Cf. infra ad IV, 8, 10. Ibid. §. 12: ἀλλά μοι δοκεῖ ὀρθίους λόχους ποιησαμένους (sc. ἡμᾶς) τοσοῦτον χωρίον κατασχεῖν.

§. 30. μήτε — τέ] nec — et. V. ad II, 2, 8.

ἀφελομένους — ἀναθέντας] V. ad I, 1, 7.

ὡς τοιούτῳ] ὡς σκευοφόρῳ.

§. 31. Ἐντεῦθεν] De asyndeto v. ad I, 1, 9.

Στυμφάλιος] oriundus e Stymphalo, oppido Arcadiae prope Tegeam sito. — De seq. ἀλλά v. ad I, 7, 6.

τούτῳ — τῆς Βοιωτίας προςήκει] V. Buttm. §. 132, 10. a. Rost. §. 162. p. 412. Kühner. T. II. §. 521. (Gr. schol. §. 273, 3. b.)

Λυδόν] „Servos in orientis regionibus aures perforatas habuisse ex Bartholino de Inauribus p. 114. et interpr. Petronii ad cap. 102. admonet Zeun. Sed recte Weisk. annotat etiam liberos homines apud barbaras gentes aures habuisse perforatas. Exemplum Syri, Aethiopis, Arabis, Afri habent loci ab Hutch. laud. Iuvenal. I, 102. Petron. c. 102. Macrob. Saturn. VII, 3. — Apollonides igitur natione Lydus (quod tamen antea Graeci indicio aliquo agnovisse videntur, dum in Lydia cum Cyro versabantur,) pervenerat in servitutem et in Boeotia sermonem Graecum didicerat. Eum Proxenus secum adduxisse videtur, quum fuisset

γόν, ὅπου δ' αὖ λοχαγὸς σῶος εἴη, τὸν λοχαγόν. Ἐπεὶ 33
δὲ πάντες συνῆλθον, εἰς τὸ πρόσθεν τῶν ὅπλων ἐκαθέζοντο· καὶ ἐγένοντο οἱ συνελθόντες στρατηγοὶ καὶ λοχαγοὶ ἀμφὶ τοὺς ἑκατόν. Ὅτε δὲ ταῦτα ἦν, σχεδὸν μέσαι ἦσαν νύκτες. Ἐνταῦθα Ἱερώνυμος Ἠλεῖος πρεσβύτατος 34
ὢν τῶν Προξένου λοχαγῶν ἤρχετο λέγειν ὧδε· Ἡμῖν, ὦ ἄνδρες στρατηγοὶ καὶ λοχαγοί, ὁρῶσι τὰ παρόντα ἔδοξε καὶ αὐτοῖς συνελθεῖν καὶ ὑμᾶς παρακαλέσαι, ὅπως βουλευσαίμεθα εἴ τι δυναίμεθα ἀγαθόν. Λέξον δ', ἔφη, καὶ σύ, ὦ Ξενοφῶν, ἅπερ καὶ πρὸς ἡμᾶς.

Ἐκ τούτου λέγει τάδε Ξενοφῶν· Ἀλλὰ ταῦτα μὲν 35
δὴ πάντες ἐπιστάμεθα, ὅτι βασιλεὺς καὶ Τισσαφέρνης οὓς μὲν ἐδυνήθησαν συνειλήφασιν ἡμῶν, τοῖς δ' ἄλλοις δῆλον ὅτι ἐπιβουλεύουσιν, ὡς, ἢν δύνωνται, ἀπολέσω-

sic AB pro ἦσαν μ. — §. 35. *μὲν δὴ πάντες*] sic AD; reliqui μὲν ἅπαντες. — *ἐδυνήθησαν*] ἠδυνήθησαν B. V. ad §. 11. in var. scr.

forte libertate a domino donatus et pro cive se gereret. Dio Chrys. or. 32. p. 654: *οἱ δὲ τρήσαντες τὸ ἕτερον οὖς χρυσίον ἐνέβαλον —· τοῦτο μὲν γὰρ κόραις μᾶλλον ἔπρεπε καὶ παισὶ Λυδῶν ἢ Φρυγῶν.*" SCHNEIDER. Quibus Bornemannus addit Brisson. de regno Pers. p. 560. et Halbkart. p. 103.

§. 32. *ὅπου — εἴη*] V. ad I, 2, 7.

ὁπόθεν δὲ οἴχοιτο] unde autem abierat i. e. ubi — perierat.

ὑποστρατηγόν] Ex V, 9, 36. et VI, 2, 11. Krügerus colligit esse eum, qui absentis praetoris vicibus functus sit vel occisi in locum successerit. Cf. ad §. 37.

σῶος] De hac rara apud Atticos singulari forma v. nos in Gr. schol. §. 78. not. 6.

§. 33. *εἰς τὸ πρόσθεν τῶν ὅπλων ἐκαθέζοντο*] pro castris consederunt. De v. *ὅπλα* v. ad II, 4, 15. De v. *καθέζεσθαι* v. ad VI, 2, 5.

ἀμφὶ τοὺς ἑκατόν] V. ad I, 2, 9.

§. 34. *Ἐνταῦθα*] Non solum de loco, sed etiam de tempore et rerum conditione, uti nostrum *da* et Latinorum hic, saepissime dicitur, ut sit rebus sic comparatis. Cf. Breitenb. ad Ages. I, 17.

καὶ σύ] ὡς καὶ ἐγὼ ἔλεξα. V. ad I, 2, 15. *καὶ ἄρχεσθαι.*

ἅπερ καί] V. ad I, 2, 15. *ὥς τις καὶ ἄλλος.*

§. 35. *Ἐκ τούτου*] V. ad I, 1, 9. De seq. *ἀλλά* v. ad I, 7, 6., de *μὲν δή* ad II, 1, 20.

ἡμῶν] pendet a relativo *οὕς*.

Ἡμῖν κτὲ.] Orationis concinnitatem non esse diligenter observatam recte monet Krügerus; nam quum antecedant verba: *ταῦτα μὲν δὴ πάντες ἐπιστάμεθα*, exspectamus orationem sic fere continuatam: *ἐκεῖνο δ'*

σιν. Ἡμῖν δέ γ' οἶμαι πάντα ποιητέα, ὡς μήποτ' ἐπὶ τοῖς βαρβάροις γενώμεθα, ἀλλὰ μᾶλλον, ἢν δυνώμεθα, ἐκεῖ-
36 νοι ἐφ' ἡμῖν. Εὖ τοίνυν ἐπίστασθε, ὅτι ὑμεῖς τοσοῦτοι ὄντες, ὅσοι νῦν συνεληλύθατε, μέγιστον ἔχετε καιρόν. Οἱ γὰρ στρατιῶται οὗτοι πάντες πρὸς ὑμᾶς βλέπουσι, κἂν μὲν ὑμᾶς ὁρῶσιν ἀθύμους, πάντες κακοὶ ἔσονται, ἢν δὲ ὑμεῖς αὐτοί τε παρασκευαζόμενοι φανεροὶ ἦτε ἐπὶ τοὺς πολεμίους καὶ τοὺς ἄλλους παρακαλῆτε, εὖ ἴστε,
37 ὅτι ἕψονται ὑμῖν καὶ πειράσονται μιμεῖσθαι. Ἴσως δέ τοι

ἐπὶ τοῖς βαρβ.] ἐν τοῖς β. AB. — ἐκεῖνοι] om. AB. — §. 36. βλέπουσι] v. adn. — ἀθύμους] v. adn. — ἢν δὲ ὑμεῖς] v. adn. — αὐτοί τε] τέ om. ABDE. — §. 38. οἴομαι] sic AB pro οἶμαι. Cf. ad II, 3, 18. — ὀνῆσαι] ὠφελῆσαι AB

ἴσως οὐκ ἐνθυμεῖσθε, ὅτι πάντα ἡμῖν ποιητέα.

δέ γ' οἶμαι] Porsonus legendum coniecit δ' ἐγῷμαι, quod Schneiderus et Bornemannus iniuria receperunt; nam haec crasis, licet frequentissima sit apud Platonem, tamen num Xenophontea sit, dubitandum vere censet Krügerus. In δέ γε particularum iunctura γέ non ad δέ, sed ad ἡμῖν referenda est. V. Klotz. ad Devar. T. II. p. 333.

§. 36. μέγιστον ἔχετε καιρόν] Bene Leonclavius interpretatur: in vobis plurimum est situm. Loci sententiam Sturzius in L. Xen. T. II. p. 627. sic exponit: „rerum status is est, ut vos in primis debeatis rebus consulere." Apte interpretes comparant vocabulum ἐπικαίριοι, de quo v. Sturzium l. d. p. 285.

πρὸς ὑμᾶς βλέπουσι] Sic ABDE pro vulg. ἀποβλέπουσι. „Βλέπειν πρός τινα quid significet, certatim VV. DD. exposuerunt, Lobeck. ad Soph. Ai. p. 282. et Heindorf. ad Plat. Charmid. p. 106." BORNEM.

ἀθύμους] Sic B et E; eodem ducunt A, in quo est ἀθύμῶς, et D, in quo est ἀθύμως; reliqui exhibent ἀθυμοῦντας. Saepe post verba sentiendi et declarandi omittitur participium verbi εἶναι. V. nos in Gr. T. II. §. 656, 3. (Gr. schol. §. 310. not. 5.) et ad Commentar. I, 7, 4. Cf. infra III, 2, 16. 26. V, 6, 13: ἥττους ληφθησόμεθα. 7, 12: (μὴ) αἴσχιστοι ἄνδρες ἀποφαινώμεθα.

ἢν δὲ — φανεροὶ ἦτε — παρακαλῆτε] Optimi codd. ABDE exhibent εἰ δὲ — φανεροὶ ἦτε — παρακαλεῖτε (nisi quod E verborum ordinem sic mutavit: παρακαλεῖτε καὶ φανεροὶ ἦτε παρασκευαζόμενοι ἐπὶ τοὺς πολεμίους). Ex recentioribus editoribus Krügerus recepit hanc scripturam: εἰ δὲ — φανεροὶ ἦτε — παρακαλῆτε. At primum particulae εἰ cum coniunctivo consociatae usus non solum Xenophonti, sed omnibus huius aetatis Atticis prosae orationis scriptoribus plane abiudicandus videtur: de qua re fusius dixi ad Commentarios II, 1, 12., quibus adde quae Poppo ad Cyrop. III, 3, 50. docte atque cogitate disputavit. Dein hoc quidem loco eo magis dubia res est, quod eidem codd. primum ἦτε, tum παρακαλεῖτε habent, unde apparet, ut παρακαλεῖτε et παρακαλῆτε, ita εἰ et

καὶ δίκαιόν ἐστιν ὑμᾶς διαφέρειν τι τούτων. Ὑμεῖς γάρ ἐστε στρατηγοί, ὑμεῖς ταξίαρχοι καὶ λοχαγοί· καὶ ὅτε εἰρήνη ἦν, ὑμεῖς καὶ χρήμασι καὶ τιμαῖς τούτων ἐπλεονεκτεῖτε· καὶ νῦν τοίνυν, ἐπεὶ πόλεμός ἐστιν, ἀξιοῦν δεῖ ὑμᾶς αὐτοὺς ἀμείνους τε τοῦ πλήθους εἶναι καὶ προβουλεύειν τούτων καὶ προπονεῖν, ἤν που δέῃ. Καὶ νῦν 38
πρῶτον μὲν οἴομαι ἂν ὑμᾶς μέγα ὀνῆσαι τὸ στράτευμα, εἰ ἐπιμεληθείητε, ὅπως ἀντὶ τῶν ἀπολωλότων ὡς τάχιστα στρατηγοὶ καὶ λοχαγοὶ ἀντικατασταθῶσιν. Ἄνευ γὰρ ἀρχόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν γένοιτο,

DEN, quod interpretamentum videtur esse minus frequentati ὀνῆσαι, sed mirum, id interpretamentum occupasse optimos codd. — ἀντικατασταθῶσιν] v. adn.

ἤν inter se permutari potuisse; quanquam negari non potest, reperiri locos, in quibus εἰ c. coni. iunctum codicum adhuc collatorum auctoritate satis firmatum videatur, uti III, 2, 22. in optimis codd. legitur εἰ καὶ πρόσω τῶν πηγῶν ἄποροι ὦσι pro vulg. ἦν καί; sed saepius εἰ et ἤν in codd. confusa reperiuntur. Cf. III, 3, 3. De VII, 6, 24. v. adn.

§. 37. Ἴσως] Per Atticam urbanitatem positum pro particula confirmativa, uti apud Latinos quoque saepe haud scio an pro sine dubio dicitur. V. nos ad Ciceron. Tuscul. III, 8, 16. Cf. §. 40.

δέ τοι] Particula restrictiva τοί (quidem, certe) saepe in oppositione ponitur. V. nos ad Commentar. III, 4, 10. Cf. supra ad II, 1, 19.

Ὑμεῖς γὰρ — ὑμεῖς] Gravius dictum pro vulgari ὑμεῖς μὲν — ὑμεῖς δέ (v. ad I, 9, 10.). Cf. III, 2, 4. 4, 46. VII, 1, 21: ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους.

ὑμεῖς ταξίαρχοι καὶ λοχαγοί] „Hos genere non diversos fuisse iam inde colligi potest, quod non dixit: ὑμεῖς ταξίαρχοι, ὑμεῖς λοχαγοί. Accedit, quod reliquis locis, quibus ducum genera enumerantur, si πεντηκοντῆρας et ἐνωμοτάρχας excipis, semper tantum στρατηγοὶ et λοχαγοὶ memorantur. Itaque statuendum videtur τάξιν e duobus λόχοις ita compositam fuisse (cf. VI, 3, 11.), ut alter λοχαγὸς simul ταξιάρχου munere fungeretur." KRÜGER. De τάξει et λόχῳ v. ad I, 5, 14.

χρήμασι] stipendio.

προβουλεύειν τούτων καὶ προπονεῖν] consilio providere militibus et pro eis labores suscipere. Apposite Zeunius comparat Cyrop. I, 6, 8: ἐγὼ δὲ οἶμαι τὸν ἄρχοντα οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων, ἀλλὰ τῷ προνοεῖν τι καὶ φιλοπονεῖν προθυμούμενον.

§. 38. πρῶτον μέν] V. ad I, 9, 7.

ἐπιμεληθείητε, ὅπως ἀντὶ τῶν ἀπολωλότων — ἀντικατασταθῶσιν] V. ad I, 3, 17. Ceterum ἀντικατασταθῶσιν legitur in optimis codicibus A B D E N pro κατασταθῶσιν. Praepositio praefixa ἀντι- sine dubio a librariis ob antecedens ἀντί deleta est; sed saepe praepositio repetitur. V. nos ad Commentar. II, 9, 2. quosque ibi laudavimus. De longiore forma ἐπιμεληθείητε pro vulgari

ὡς μὲν συνελόντι εἰπεῖν, οὐδαμοῦ, ἐν δὲ δὴ τοῖς πολε-
μικοῖς παντάπασιν. Ἡ μὲν γὰρ εὐταξία σώζειν δοκεῖ, ἡ
39 δὲ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν. Ἐπειδὰν δὲ κατα-
στήσησθε τοὺς ἄρχοντας, ὅσους δεῖ, ἢν καὶ τοὺς ἄλ-
λους στρατιώτας συλλέγητε καὶ παραθαρσύνητε, οἶμαι
40 ἂν ὑμᾶς πάνυ ἐν καιρῷ ποιῆσαι. Νῦν μὲν γὰρ ἴσως καὶ
ὑμεῖς αἰσθάνεσθε, ὡς ἀθύμως μὲν ἦλθον ἐπὶ τὰ ὅπλα,
ἀθύμως δὲ πρὸς τὰς φυλακάς· ὥστε οὕτω γ' ἐχόντων
οὐκ οἶδα, ὅ τι ἄν τις χρήσαιτο αὐτοῖς, εἴτε νυκτὸς δέοι
41 τι εἴτε καὶ ἡμέρας. Ἢν δέ τις αὐτῶν στρέψῃ τὰς γνώ-
μας, ὡς μὴ τοῦτο μόνον ἐννοῶνται, τί πείσονται, ἀλλὰ
42 καὶ τί ποιήσουσι, πολὺ εὐθυμότεροι ἔσονται. Ἐπίστασθε
γὰρ δή, ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ πο-

ἐν δὲ δή] ἔν γε δή FGHI (correctus) KL et Ald.; v. adn. — §. 39. ἢν καί] sic ABD pro καὶ ἤν. — παραθαρσύνητε] sic AB; eodem ducit D, in quo est παραθρασύνητε; reliqui παραθαῤῥ. V. ad I, 7, 2. in var. scr. — οἶμαι ἄν] sic AB; cf. II, 1, 12.; reliqui ἂν post πάνυ habent. — §. 40. Νῦν μὲν γάρ] νῦν γάρ ABE. — §. 41. στρέψῃ] v. adn. — §. 42. γὰρ

ἐπιμεληθεῖτε cf. infra ad III, 4, 29. ἀποτμηθείησαν.

ὡς μὲν συνελόντι εἰπεῖν] ut breviter dicam. V. Buttm. §. 140. not. 4. Rost. §. 185. add. 2. Kühner. T. II. §. 826, 1. (Gr. schol. §. 341. not. 3.)

ἐν δὲ δή] Δή particula habet h. l., uti saepius Latinorum iam (v. nos ad Cic. Tuscul. II, 10, 24.), vim augendi (*vollends*). Cf. Hartung. *griech. Part.* T. I. p. 264. Kühner. T. II. §. 691. B.

παντάπασιν] Scil. οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγ. γ.

§. 39. ἢν καὶ — παραθαρσύνητε] Haec enuntiatio subiecta est sequenti: οἶμαι ὑμᾶς — ποιῆσαι, ἢν καὶ τοὺς ἄλλους κτἑ.

§. 40. ἀθύμως μὲν — ἀθύμως δέ] V. ad I, 9, 10.

οὕτω γε ἐχόντων] Scil. αὐτῶν (τῶν στρατιωτῶν). V. ad I, 2, 17.

31 Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς καὶ τῶν τετρωμένων ἕνεκα καὶ ἅμα ἐπιτήδεια πολλὰ εἶχον, ἄλευρα, οἶνον, κριθὰς ἵπποις συμβεβλημένας πολλάς. Ταῦτα δὲ συνενηνεγμένα ἦν τῷ σατραπεύοντι τῆς χώρας. Τετάρτῃ δ'
32 ἡμέρᾳ καταβαίνουσιν εἰς τὸ πεδίον. Ἐπεὶ δὲ κατέλαβεν αὐτοὺς Τισσαφέρνης σὺν τῇ δυνάμει, ἐδίδαξεν αὐτοὺς ἡ ἀνάγκη κατασκηνῆσαι οὗ πρῶτον εἶδον κώμην καὶ μὴ πορεύεσθαι ἔτι μαχομένους· πολλοὶ γὰρ ἦσαν οἱ ἀπό-

κριθάς] καὶ κριθάς B; v. adn. — συνενηνεγμένα] sic BDN; ex B etiam συνηνεγμένα enotatum, quod Dind. etiam FG habere opinatur; συνενεινεγμένα A; συνενεγμένα E; συνηνεγμένα IK, unde coni. Dind. συννενημένα; reliqui συνηγμένα. — §. 32. Ἐπεὶ δέ] δέ om. AB. — οἱ ἀπόμαχοι, οἱ τετρ.] v. adn.

aliena manu importata esse statuamus.

ἀποτμηθείησαν] Rarior quidem est haec forma, quam brevior in εῖεν desinens, sed tamen satis frequens et apud Xenophontem et apud alios huius aetatis Atticos scriptores. Infra §. 35. λυθείησαν. IV, 3, 21. ἀποτμηθείησαν. V, 7, 20. ταφείησαν. Symp. V, 9. ἐξαπατηθείησαν. Hellen. I, 3, 17. ναυπηγηθείησαν. II, 4, 28. ἀποκλεισθείησαν. IV, 2, 18. 8, 15. V, 1, 29. VII, 1, 39. Oecon. VIII, 4. etc.

§. 30. Οὕτω] V. ad I, 1, 9. τούτῳ.

οἱ μέν] universus exercitus praeter peltastas in montem missos.

τῇ ὁδῷ] τῇ διὰ τῶν γηλόφων γιγνομένῃ (§. 24.).

κατὰ τοὺς γηλόφους] per colles, ut κατὰ τὸ ὄρος, per montem.

οἱ δὲ — ἐπιπαριόντες] peltastae per montem proficiscentes; apte dixit ἐπιπαριόντες, i. e. ἐπὶ τοῦ ὄρους παρὰ τὸ ἄλλο τῶν Ἑλλήνων στράτευμα τὸ κατὰ τοὺς γηλόφους ἰόν. Cf. VI, 3, 19: οἱ δ' ἱππεῖς — ἔκαιον, ἢ ἐβάδιζον, καὶ οἱ πελτασταὶ ἐπιπαριόντες κατὰ τὰ ἄκρα ἔκαιον πάντα.

εἰς τὰς κώμας] V. §. 24.

§. 31. καὶ ἅμα — εἶχον] Minus accurate dictum pro καὶ ἅμα ὅτι — εἶχον. De asyndeto sequenti v. ad II, 4, 28.

ἵπποις συμβεβλημένας] ad equorum pastionem congestas.

τῷ σατραπεύοντι] V. ad I, 8, 12.

§. 32. οἱ ἀπόμαχοι] Sic scripsi cum ABE; reliqui omittunt articulum. Articulus hanc vim habet: multi erant ei, qui ad pugnam inutiles erant. Articulum οἱ ante τετρωμένοι, qui in omnibus codd. omissus est, verissime addidit Zeunius; nam et necessario requiritur, et facillime ab ultima antecedentis vocabuli ἀπόμαχοι absorberi potuit; quod autem idem Zeunius οἵ τε τετρωμένοι maluit, non est probandum; nam verba οἱ τετρωμένοι et seqq. tanquam appositio addita sunt.

μαχοι, οἱ τετρωμένοι καὶ οἱ ἐκείνους φέροντες καὶ οἱ τῶν
33 φερόντων τὰ ὅπλα δεξάμενοι. Ἐπεὶ δὲ κατεσκήνησαν,
καὶ ἐπεχείρησαν αὐτοῖς ἀκροβολίζεσθαι οἱ βάρβαροι πρὸς
τὴν κώμην προσιόντες, πολὺ περιῆσαν οἱ Ἕλληνες· πολὺ
γὰρ διέφερεν ἐκ χώρας ὁρμῶντας ἀλέξασθαι ἢ πορευο-
34 μένους ἐπιοῦσι τοῖς πολεμίοις μάχεσθαι. Ἡνίκα δ' ἦν
ἤδη δείλη, ὥρα ἦν ἀπιέναι τοῖς πολεμίοις· οὔποτε γὰρ
μεῖον ἀπεστρατοπεδεύοντο οἱ βάρβαροι τοῦ Ἑλληνικοῦ
ἑξήκοντα σταδίων φοβούμενοι, μὴ τῆς νυκτὸς οἱ Ἕλλη-
35 νες ἐπιθῶνται αὐτοῖς. Πονηρὸν γὰρ νυκτός ἐστι στρά-
τευμα Περσικόν. Οἵ τε γὰρ ἵπποι αὐτοῖς δέδενται καὶ

§. 33. διέφερεν κτἑ.] v. adn. — ἐκ χώρας] v. adn. — §. 34. ἀπεστρατ.] ἐστρατοπεδεύοντο ABL. — οἱ Ἕλληνες] sic AB et Steph.; reliqui om. — ἐπιθῶνται] sic ABE pro ἐπιθοῖντο. — §. 35. ἐπὶ πολύ] v. adn. — χαλινῶσαι δεῖ] χ. δέ A, non absurde. — χαλεπὰ νύκτωρ καὶ θορύβου ὄντος] sic ABDE; χαλεπὸν νυκτὸς ὅτε καὶ θορύβου ὄν-

§. 33. κατεσκήνησαν] Scil. οἱ Ἕλληνες. V. ad I, 4, 5. φυλάττοιεν.

αὐτοῖς ἀκροβολίζεσθαι] Dativus huic verbo adiunctus est ob notionem pugnandi, quae in eo inest. V. nos in Gr. T. II. §. 574. c. (Gr. schol. §. 284, 3, 2.)

πολὺ — διέφερεν — ἀλέξασθαι ἢ — μάχεσθαι] De structura πολὺ διαφέρει, magnum facit discrimen, multum interest, v. nos ad Commentar. III, 11, 11. et de διαφέρειν ἤ ad Comm. III, 7, 7. — Ceterum scriptura codicum fluctuatur. Dindorfius cum A scripsit διέφερον — ὁρμῶντες — πορευόμενοι; eodem fere ducunt B et E, quorum ille habet διέφερον — ὁρμῶντας — πορευόμενοι, hic διέφερεν — ὁρμῶντες — πορευόμενοι. Sed vehementer dubito, num Graece dici possit: διαφέρω ἀλέξασθαι ἢ μάχεσθαι; nam hos infinitivos e participiis ὁρμῶντες et πορευόμενοι suspensos statuere nos vetat ipsa sententia. Quam nos dedimus scripturam, ea nititur auctoritate reliquorum codicum et Suidae v. ἀλέξασθαι p. 105., qui tamen pro ὁρμῶντας dat ὁρμωμένους, quod Schneiderus recepit; non recte, puto; nam quum ὁρμᾶν etiam impetum facere significet, in hunc locum optime quadrat. Cf. IV, 3, 31. V, 7, 25. V. Sturz. L. Xen. T. III. p. 325.

ἐκ χώρας] e suo loco, e sua statione. Sic AB et Suidas pro vulg. ἐκ τῆς χώρας. Saepe ἐν χώρᾳ, κατὰ χώραν. V. Sturz. L. Xen. T. IV. p. 574 sq. Supra I, 5, 17: ἀμφότεροι κατὰ χώραν ἔθεντο τὰ ὅπλα (suo loco, ordine).

§. 34. μεῖον — ἑξήκοντα σταδίων] minus sexaginta stadiis. — ἀπεστρατοπεδεύοντο — τοῦ Ἑλληνικοῦ, i. e. castra a Graecorum exercitu remota habebant.

μὴ — ἐπιθῶνται] V. ad I, 8, 24.

§. 35. Πονηρόν] Grave, incommodum, non facile ad expediendum. Cf. supra §. 19. πονηρὰ τάξις. Hutchinsonus comparat Cyrop.

ὡς ἐπὶ πολὺ πεποδισμένοι εἰσὶ τοῦ μὴ φεύγειν ἕνεκα, εἰ λυθείησαν· ἐάν τέ τις θόρυβος γίγνηται, δεῖ ἐπισάξαι τὸν ἵππον Πέρσῃ ἀνδρὶ καὶ χαλινῶσαι δεῖ καὶ θωρακισθέντα ἀναβῆναι ἐπὶ τὸν ἵππον. Ταῦτα δὲ πάντα χαλεπὰ νύκτωρ καὶ θορύβου ὄντος. Τούτου ἕνεκα πόῤῥω ἀπεσκήνουν τῶν Ἑλλήνων.

Ἐπεὶ δὲ ἐγίγνωσκον αὐτοὺς οἱ Ἕλληνες βουλομένους ἀπιέναι καὶ διαγγελλομένους, ἐκήρυξε τοῖς Ἕλλησι 36
συσκευάζεσθαι, ἀκουόντων τῶν πολεμίων. Καὶ χρόνον μέν τινα ἐπέσχον τῆς πορείας οἱ βάρβαροι· ἐπειδὴ δὲ ὀψὲ ἐγίγνετο, ἀπῄεσαν· οὐ γὰρ ἐδόκει λυσιτελεῖν αὐτοῖς

τος ποιεῖν FGHIKL et Ald.; χαλεπὰ ποιεῖν νύκτωρ καὶ θ. ὄντος Suidas, quem secutus est Dind. — §. 36. ἐγίγνωσκον] ἐγίνωσκον A et Suid. V. var. scr. I, 10, 12. — διαγγελλομένους] διαγγελομ. A, v. var. scr. I, 4, 12. — συσκευάζεσθαι] sic AB; συσκευάσασθαι DEN; reliqui παρασκευάσασθαι. — οὐ γάρ] v. adn. — λυσιτελεῖν] v. adn.

III, 3, 26: ἱππικὸν στράτευμα ἐν νυκτὶ ταραχῶδές ἐστι καὶ δύςχρηστον.

Οἵ τε] Huic τέ in seqq. respondet ἐάν τε.

ἐπὶ πολύ] Sic scripsi cum ABE pro ἐπὶ τὸ πολύ, quod reliqui codd. habent et Suidas, qui hunc locum, sed non ad verbum attulit; ὡς ἐπὶ τὸ πολύ frequentius est (v. III, 1, 42. 43. de rep. Ath. II, 18.), quam ὡς ἐπὶ πολύ, sed idcirco hoc non est tentandum (v. de re equestri I, 12.).

πεποδισμένοι] Cyrop. III, 3, 14. de Assyriis στρατοπεδευομένοις: πεποδισμένους τε γὰρ ἔχουσι ἐπὶ ταῖς φάτναις κτέ. „Mos pedicis equos continendi ad praesepia valuit apud Persas etiam in castris; nam extra bellum idem fuit Graecorum mos antiquissimus in equis et armentis. Testis est Homer. Il. XIII, 36. de Neptuni equis: ἀμφὶ δὲ ποσσὶ πέδας βάλε. De vaccis in stabulo ad mulctram stantibus auctor idyllii inter Theocritea XXV, 103. Praepeditos Numidarum equos comparavit ex Taciti Ann. IV, 25. Hutchins." SCHNEIDER.

εἰ λυθείησαν] „In praegressis latet ὅπερ ἂν ποιήσειαν. Cf. VII, 8, 16: μὴ φυγὴ εἴη ἡ ἄφοδος, εἰ καταλιπόντες τὰ χρήματα ἀπίοιεν." KRÜGER.

δεῖ — Πέρσῃ ἀνδρί] Rarior structura pro δεῖ Πέρσην ἄνδρα. V. nos ad Commentar. III, 3, 10. εἴ σοι δέοι διδάσκειν.

ἐπισάξαι] „Pro sellis veteres utebantur stratis, ut videtur, coactilibus, ἐφιππίοις, ἐφιππείοις πίλοις. Cf. de art. eq. VII, 5. ibique Iacobsium." KRÜGER.

θωρακισθέντα] Ob antecedentem dativum Πέρσῃ ἀνδρί exspectes θωρακισθέντι, at v. ad I, 2, 1.

§. 36. διαγγελλομένους] Recte interpretatur Weiskius: inter se hoc denuntiantes, proficiscendum esse.

ἐκήρυξε] V. ad I, 2, 17.

οὐ γάρ] ABE exhibent οὔτε γάρ, unde cum Bornemanno legam οὐδὲ γάρ, de quibus v. eundem ad Conviv. VIII, 21. p. 200.

λυσιτελεῖν αὐτοῖς] Sic edidit Dindorfius, uti in uno

νυκτὸς πορεύεσθαι καὶ κατάγεσθαι ἐπὶ τὸ στρατόπεδον.
37 Ἐπειδὴ δὲ σαφῶς ἀπιόντας ἤδη ἑώρων οἱ Ἕλληνες, ἐπορεύοντο καὶ αὐτοὶ ἀναζεύξαντες καὶ διῆλθον ὅσον ἑξήκοντα σταδίους. Καὶ γίγνεται τοσοῦτον μεταξὺ τῶν στρατευμάτων, ὥςτε τῇ ὑστεραίᾳ οὐκ ἐφάνησαν οἱ πολέμιοι, οὐδὲ τῇ τρίτῃ· τῇ δὲ τετάρτῃ νυκτὸς προελθόντες καταλαμβάνουσι χωρίον ὑπερδέξιον οἱ βάρβαροι, ᾗ ἔμελλον οἱ Ἕλληνες παριέναι, ἀκρωνυχίαν ὄρους, ὑφ᾽ ἣν ἡ κατά-
38 βασις ἦν εἰς τὸ πεδίον. Ἐπειδὴ δὲ ἑώρα Χειρίσοφος προκατειλημμένην τὴν ἀκρωνυχίαν, καλεῖ Ξενοφῶντα ἀπὸ τῆς οὐρᾶς καὶ κελεύει λαβόντα τοὺς πελταστὰς παραγε-
39 νέσθαι εἰς τὸ πρόσθεν. Ὁ δὲ Ξενοφῶν τοὺς μὲν πελταστὰς οὐκ ἦγεν· ἐπιφαινόμενον γὰρ ἑώρα Τισσαφέρνην καὶ τὸ στράτευμα πᾶν· αὐτὸς δὲ προςελάσας ἠρώτα· Τί καλεῖς; Ὁ δὲ λέγει αὐτῷ· Ἔξεστιν ὁρᾶν· κατείλη-

§. 37. *ὑφ᾽ ἥν*] *ἐφ᾽ ἥν* ABD. — §. 38. *καλεῖ*] *καλεῖται* A. — §. 39. *προςελάσας*] sic A et Ald. pro *προελάσας*. — *κατείληπται*] sic ABDE pro *προκατείληπται*, quod ob §. 38. a glossatore profectum videtur. — *κατακόψομεν*] v. adn. — §. 40. *ὄπισθεν πολεμίων ἐπιφ.*] sic AB pro *ὄπ. ἐπιφ. τῶν πολ.*,

codice D, quantum ex Montefalconii de *αὐτοῖς* silentio coniicit, legitur; *λύειν αὐτούς* habent A et E, et *κωλύειν αὐτούς* B; reliqui *λυσιτελεῖν αὐτοῖς*. Verbum *λύειν* pro *λυσιτελεῖν* dictum est poeticum et construi solet cum dativo, quanquam Soph. Electr. 1005. (988.) legitur: *λύει γὰρ ἡμᾶς οὐδέν, οὐδ᾽ ἐπωφελεῖ*. Etsi non ignoro Xenophontem non pauca e poetico sermone ascivisse, tamen h. l. eo minus ausus sum *λύειν αὐτοῖς* vel *αὐτούς* recipere, quod e scriptura codicis B *κωλύειν αὐτούς* colligi posse videtur, *λύειν* natum esse e compendio quodam scripturae male intellecto.

τὸ στρατόπεδον] Articulum Krügerus recte explicat sic: castra interea a lixis et calonibus posita.

§. 37. *ὅσον ἑξήκοντα σταδίους*] V. ad I, 8, 6.

χωρίον ὑπερδέξιον] locum editum, superiorem. V. ad IV, 8, 1. De V, 7, 31. v. ibi adnotata.

ἀκρωνυχίαν] culmen; §. 39. *ὁ ὑπὲρ τῆς καταβάσεως λόφος*; at non summum montis cacumen, quod postea *τὸ ἄκρον* (§. 44. 49.) appellatur. Suidas: *ἀκρῶνυξ τὸ ἄκρον τοῦ ὄνυχος καὶ τὸ ἄκρον τοῦ ὄρους*. V. Sturz. L. Xen. T. I. p. 117.

§. 38. *οὐρᾶς*] *Ἡ οὐρά* est extremum agmen, cui opponitur *τὸ στόμα* (§. 43.), primum agmen. V. Sturz. L. Xen. T. III. p. 360. et T. IV. p. 96 sq. Cf. nos infra ad V, 2, 26.

§. 39. *ἡμῖν*] in damnum nostrum, uti I, 3, 16., ubi v. adnotata.

κατακόψομεν] Sic edidi cum E; eodem ducere videntur ABD, in quibus legitur *παρακόψομεν*, quod recepit Dindorfius, vereor, ut recte; nam *παρακόπτειν* hac vi dictum alias non

πται γὰρ ἡμῖν ὁ ὑπὲρ τῆς καταβάσεως λόφος καὶ οὐκ
ἔστι παρελθεῖν, εἰ μὴ τούτους κατακόψομεν. Ἀλλὰ τί
οὐκ ἦγες τοὺς πελταστάς; Ὁ δὲ λέγει, ὅτι οὐκ ἐδόκει 40
αὐτῷ ἔρημα καταλιπεῖν τὰ ὄπισθεν, πολεμίων ἐπιφαινο-
μένων. Ἀλλὰ μὴν ὥρα γ', ἔφη, βουλεύεσθαι, πῶς τις τοὺς
ἄνδρας ἀπελᾷ ἀπὸ τοῦ λόφου. Ἐνταῦθα Ξενοφῶν ὁρᾷ 41
τοῦ ὄρους τὴν κορυφὴν ὑπὲρ αὐτοῦ τοῦ ἑαυτῶν στρα-
τεύματος οὖσαν καὶ ἀπὸ ταύτης ἔφοδον ἐπὶ τὸν λόφον,
ἔνθα ἦσαν οἱ πολέμιοι, καὶ λέγει· Κράτιστον, ὦ Χειρί-
σοφε, ἡμῖν ἵεσθαι ὡς τάχιστα ἐπὶ τὸ ἄκρον· ἢν γὰρ τοῦτο
λάβωμεν, οὐ δυνήσονται μένειν οἱ ὑπὲρ τῆς ὁδοῦ. Ἀλλά,
εἰ βούλει, μένε ἐπὶ τῷ στρατεύματι, ἐγὼ δὲ ἐθέλω πορεύ-
εσθαι· εἰ δὲ χρῄζεις, πορεύου ἐπὶ τὸ ὄρος, ἐγὼ δὲ μενῶ
αὐτοῦ. Ἀλλὰ δίδωμί σοι, ἔφη ὁ Χειρίσοφος, πότερον 42
βούλει ἑλέσθαι. Εἰπὼν ὁ Ξενοφῶν, ὅτι νεώτερός ἐστιν,

unde Born. dedit *ὄπ. τῶν π. ἐπιφ.* — *ἀπὸ τοῦ λόφου*] sic ABEFGIK; *ἐκ τ. λ.* MN; reliqui *τοῦ λ.* — §. 41. *ὑπὲρ αὐτοῦ τοῦ ἑαυτῶν στρ.*] v. adn. — *ἢν γάρ*] sic AB pro *ἐὰν γάρ.* — *οἱ*] sic ABDEM; reliqui om. — §. 42. *πότερον*] sic AD pro *ὁπότερον.* V. ad I, 3, 18.

legitur. HIKL exhibent *ἀποκόψωμεν*; reliqui *ἀποκόψομεν.* De *κατακόπτειν* cf. III, 5, 2.

§. 40. *Ἀλλὰ μὴν ὥρα γ', ἔφη*] At vero tempus quidem est, inquit. V. nos ad Commentar. I, 1, 6. De *ἔφη* ad eundem Xenophontem referendo v. ad I, 6, 10. Cf. infra VII, 7, 31.

πῶς] pro *ὅπως.* V. ad I, 3, 18.

§. 41. *τοῦ ὄρους τὴν κορυφήν*] Hostes non summum montis cacumen occupaverant (v. ad §. 37.), sed inferiorem montis partem.

ὑπὲρ αὐτοῦ τοῦ ἑαυτῶν στρατεύματος] Sic optime legit A; B exhibet *ὑπὲρ αὐτοῦ τοῦ στρατεύματος*; D et E *ὑπὲρ τοῦ ἑαυτῶν στρατεύματος*; L *ὑπὲρ ἑαυτοῦ στρατεύματος*; reliqui *ὑπὲρ τοῦ ἑαυτοῦ στρατεύματος.* Muretus legendum censet *ὑπὲρ τοῦ στρατεύματος*; at accuratior rei definitio h. l. necessaria est; scriptura autem *τοῦ ἑαυτοῦ στρ.* sententiae repugnat; nam haec verba non ad Xenophontis agmen extremum referenda esse ex tota narratione patet; *ἑαυτῶν* igitur est Graecorum; cf. ad IV, 7, 19. Vocabulum *αὐτοῦ* facile excidere potuit, sequentibus *τοῦ ἑαυτῶν.*

ἵεσθαι] V. ad I, 5, 8.

μένε — ἐγὼ δὲ ἐθέλω] Exspectes *σὺ μὲν μένε, ἐγὼ δέ*; at recte docet Krügerus, quum Xenophon *μένε* dicebat, nondum eum cogitasse de oppositione, comp. VII, 3, 36: *Ὁ δ' εἶπε· Παρασκευασάμενοι ἀναμένεῖτε· ἐγὼ δ' — ἥξω παρ' ὑμᾶς.* Cf. ad I, 7, 9.

§. 42. *Εἰπών*] De asyndeto Krügerus comparat IV, 8, 6. *λέγειν ἐκέλευον οἱ στρατηγοί.* 7. *ἠρώτων ἐκεῖνοι.* VII, 3, 12. *ἐπήρετο ὁ Ξ.* 4, 10. *ἐπήρετο ὁ Σ.* (Adde VII, 6, 44. ex optimis codd.) Cyrop. VII, 1, 43. *ἀπεκρίνατο ὁ Κ.* VIII, 4, 27. *ἐπήρετο ἐκεῖ-*

αἱρεῖται πορεύεσθαι, κελεύει δέ οἱ συμπέμψαι ἀπὸ τοῦ στόματος ἄνδρας· μακρὸν γὰρ ἦν ἀπὸ τῆς οὐρᾶς λαβεῖν.
43 Καὶ ὁ Χειρίσοφος συμπέμπει τοὺς ἀπὸ τοῦ στόματος πελταστάς, ἔλαβε δὲ τοὺς κατὰ μέσον τοῦ πλαισίου. Συνέπεσθαι δ' ἐκέλευσεν αὐτῷ καὶ τοὺς τριακοσίους, οὓς αὐτὸς εἶχε τῶν ἐπιλέκτων ἐπὶ τῷ στόματι τοῦ πλαισίου.
44 Ἐντεῦθεν ἐπορεύοντο ὡς ἐδύναντο τάχιστα. Οἱ δ' ἐπὶ τοῦ λόφου πολέμιοι ὡς ἐνόησαν αὐτῶν τὴν πορείαν ἐπὶ τὸ ἄκρον, εὐθὺς καὶ αὐτοὶ ὥρμησαν ἁμιλλᾶσθαι ἐπὶ
45 τὸ ἄκρον. Καὶ ἐνταῦθα πολλὴ μὲν κραυγὴ ἦν τοῦ Ἑλληνικοῦ στρατεύματος διακελευομένων τοῖς ἑαυτῶν, πολλὴ δὲ κραυγὴ τῶν ἀμφὶ Τισσαφέρνην τοῖς ἑαυτῶν διακε-

μακρόν] sic ABDE pro *μακράν*. — *οὐρᾶς*] sic ABDEN et Suid. pro *οὐραγίας*. V. Sturz. L. X. T. III. p. 360. — §. 43. *μέσον τοῦ πλαισίου*] *μέσον πλαισίου* AB. — *αὐτῷ*] *αὐτούς* ABD, unde probabiliter Born. coni. *αὐτοῖς*. — *τριακοσίους, οὓς*] sic ABDEN; reliqui *τριακοσίους ὁ Χειρίσοφος, οὕς*. — §. 44. *ἐδύναντο*] *ἠδύναντο* A; v. var. scr. III, 1, 11. — §. 46. *ἐπὶ τήν*] sic ABDEN pro *εἰς τήν*. — *πρὸς τοὺς π. καὶ τὰς γ.*] sic ADEM; reliqui om. *τούς* et *τάς*. V. ad I, 4, 8. — *γυναῖκας, ὀλίγον*] sic ABD; reliqui *γυναῖκας, νῦν ὀλίγον*. — *πονή-*

νος. Quorum exemplorum id est commune, quod oratio interrogationibus et responsionibus inter se excipientibus constat, simulque verbum finitum vel etiam infinitivus participiumve primam enuntiationis sedem occupat.

μακρόν] Sic ABDE pro vulg. *μακράν*. Apposite Bornemannus attulit Agesil. VII, 1: *καθ' ἓν ἕκαστον μακρὸν ἂν εἴη γράφειν.*

§. 43. *συμπέμπει τοὺς ἀπὸ τοῦ στόματος πελταστάς*] Praegnanti structura dictum pro *συμπ. ἀπὸ τοῦ στόματος τοὺς ἐν αὐτῷ πελταστάς*. V. ad I, 1, 5. *τῶν παρὰ βασιλέως*. V. Rost. Gr. schol. §. 163, 6. cc. p. 431.

ἔλαβε δὲ τοὺς κατὰ μέσον τοῦ πλαισίου] Langius, Halbkartus et A. G. Beckerus male haec verba ita acceperunt, ut haec esset sententia: praeter primi agminis peltastas Chirisophus etiam eos peltastas, qui in medio agmine erant, dedit Xenophonti. Immo hic locus simpliciter sic explicandus: Chirisophus in locum peltastarum primi agminis Xenophonti permissorum sumpsit (aut succedere iussit) eos peltastas, qui in medio agmine erant.

τοὺς τριακοσίους, οὓς αὐτὸς εἶχε τῶν ἐπιλέκτων] Exemplo regum Lacedaemoniorum, de quo Thuc. V, 72., Chirisophum hos trecentos comites habuisse videri Larcherus putat. Krügerus intelligi dimidiam partem eorum, de quibus §. 21. dictum est, vel voces *αὐτός* et *τῶν ἐπιλέκτων* docere monet.

§. 44. *ἁμιλλᾶσθαι ἐπὶ τὸ ἄκρον*] certatim in summum montis cacumen contendere. Cf. §. 46. Cyrop. I, 4, 15. *ἁμιλλωμένους* (certatim ruentes) *ἐπὶ τὰ θηρία*.

λευομένων. Ξενοφῶν δὲ παρελαύνων ἐπὶ τοῦ ἵππου παρεκελεύετο· Ἄνδρες, νῦν ἐπὶ τὴν Ἑλλάδα νομίζετε ἁμιλλᾶσθαι, νῦν πρὸς τοὺς παῖδας καὶ τὰς γυναῖκας, ὀλίγον πονήσαντες ἀμαχεὶ τὴν λοιπὴν πορευόμεθα. 46
Σωτηρίδης δὲ ὁ Σικυώνιος εἶπεν· Οὐκ ἐξ ἴσου, ὦ Ξενοφῶν, ἐσμέν· σὺ μὲν γὰρ ἐφ' ἵππου ὀχῇ, ἐγὼ δὲ χαλεπῶς κάμνω τὴν ἀσπίδα φέρων. 47
Καὶ ὃς ἀκούσας ταῦτα καταπηδήσας ἀπὸ τοῦ ἵππου ὠθεῖται αὐτὸν ἐκ τῆς τάξεως καὶ τὴν ἀσπίδα ἀφελόμενος ὡς ἐδύνατο τάχιστα ἔχων ἐπορεύετο· ἐτύγχανε δὲ καὶ θώρακα ἔχων τὸν ἱππικόν, ὥςτε ἐπιέζετο. Καὶ τοῖς μὲν ἔμπροσθεν ὑπάγειν παρεκελεύετο, τοῖς δὲ ὄπισθεν παριέναι μόλις ἑπομένοις. 48
Οἱ δ' ἄλλοι στρατιῶται παίουσι 49

σαντες ἀμαχεί] sic ABE; reliqui πονήσαντες χρόνον ἀμαχεί. De ὀλίγον cf. VII, 6, 5. Pro ἀμαχεί Dind. edidit ἀμαχί. — πορευόμεθα] sic AB pro πορευσόμεθα. V. ad II, 5, 18. — §. 47. Σωτηρίδης] sic ABDE pro Σωτηρίδας. — §. 48. ὠθεῖται] sic ABD pro ὠθεῖτο. — ἔχων] addunt ABDEN. — ὥςτε ἐπιέζετο] ABDE ὥςτε πιέζοιτο, unde Born. probabiliter coni. ὥςτ' ἐπιέζετο. — ὑπάγειν] ὑπάγων BDEN; ἀπάγων A. — μόλις] v. adn.

§. 45. στρατεύματος διακελευομένων] Per constructionem κατὰ σύνεσιν dictum pro διακελευομένου. V. ad II, 1, 6.

§. 46. νῦν — νῦν] V. ad III, 1, 37.

§. 47. Οὐκ ἐξ ἴσου — ἐσμέν] Non aequali conditione sumus.

χαλεπῶς] Recte docet Weiskius in disput. de ingenio Xen. p. LXIV. χαλεπῶς non cum κάμνω, sed cum φέρων iungendum esse, comp. Cyrop. VIII, 8, 16: τὰς εὐνὰς οὐ μόνον ἀρκεῖ μαλακῶς ὑποστρώννυσθαι, ἀλλ' ἤδη καὶ τῶν κλινῶν τοὺς πόδας ἐπὶ ταπίδων τιθέασιν. Hellen. II, 4, 17: μνημείου γὰρ οὐδεὶς οὕτω πλούσιος ὢν καλοῦ τεύξεται. Videtur haec verborum collocatio Weiskio vim quandam orationi addere, quum uno spiritu et celeriter tales sententiae pronuntiandae sint.

§. 48. Καὶ ὅς] Et is. V. ad I, 8, 16.

ὠθεῖται — τάξεως] protrudit eum (sc. militem) ex ordine.

θώρακα — τὸν ἱππικόν] „Alius utique equiti, alius pediti thorax erat. Discrimen agnoscit etiam Plutarch. Philopoem. c. 6: τὸν μὲν ἵππον ἀφῆκεν, αὐτὸς δὲ — πεζὸς ἐν ἱππικῷ θώρακι καὶ σκευῇ βαρυτέρᾳ χαλεπῶς καὶ ταλαιπώρως ἁμιλλώμενος." HUTCHINS.

ὑπάγειν] est i. q. προάγειν, adiuncta notione pedetentim. Cf. infra IV, 2, 16. et Sturz. L. Xen. T. IV. p. 359.

παριέναι] accedere, sequi.

μόλις] Sic recte ABDE pro μόγις. V. nos ad Commentar. I, 3, 13. p. 120. sq. Etiam infra V, 8, 14. A et B μόλις tuentur. At IV, 8, 28. ABE tenent μόγις, quod contra hos optimae notae codices mutare non sum ausus.

καὶ βάλλουσι καὶ λοιδοροῦσι τὸν Σωτηρίδην, ἔςτε ἠνάγκασαν λαβόντα τὴν ἀσπίδα πορεύεσθαι. Ὁ δὲ ἀναβάς, ἕως μὲν βάσιμα ἦν, ἐπὶ τοῦ ἵππου ἦγεν, ἐπεὶ δὲ ἄβατα ἦν, καταλιπὼν τὸν ἵππον ἔσπευδε πεζῇ. Καὶ φθάνουσιν ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς πολεμίους.

1 V. Ἔνθα δὴ οἱ μὲν βάρβαροι στραφέντες ἔφευγον, ᾗ ἕκαστος ἐδύνατο, οἱ δ' Ἕλληνες εἶχον τὸ ἄκρον. Οἱ δὲ ἀμφὶ Τισσαφέρνην καὶ Ἀριαῖον ἀποτραπόμενοι ἄλλην ὁδὸν ᾤχοντο. Οἱ δὲ ἀμφὶ Χειρίσοφον καταβάντες εἰς τὸ πεδίον ἐστρατοπεδεύσαντο ἐν κώμῃ μεστῇ πολλῶν ἀγαθῶν. Ἦσαν δὲ καὶ ἄλλαι κῶμαι πολλαί, πλήρεις πολλῶν ἀγαθῶν, ἐν τούτῳ τῷ πεδίῳ παρὰ τὸν Τίγρητα ποταμόν.
2 Ἡνίκα δ' ἦν δείλη, ἐξαπίνης οἱ πολέμιοι ἐπιφαίνονται ἐν

§. 49. *Σωτηρίδην*] sic ABD pro *Σωτηρίδαν*. — *ἔςτε*] sic ABD pro *ἕως*. — *ἕως μὲν β. ἦν ἐπὶ τοῦ ἵππου*] sic ABDE pro *ἐπὶ τοῦ ἵππου ἕως μὲν β. ἦν*.

Cap. V. §. 1. *εἰς τὸ πεδίον*] om. ABE. — *μεστῇ*] om. ABD. — *πολλαί*] om. FGHIKL et Ald. — §. 2. *οἱ πολ. ἐπιφαίνονται*] sic AB pro *ἐπιφαίνονται οἱ π.* — *γάρ*] om.

§. 49. *Ὁ δέ*] Xenophon, *ἀναβάς*, conscenso equo.

βάσιμα — ἄβατα] Scil. *τῷ ἵππῳ*. Pluralis positus est, quod scriptori substantivum *χωρία* obversabatur. Cf. IV, 6, 17.

Cap. V. §. 1. *Οἱ — ἀμφὶ Τ. καὶ Ἀρ.*] H. e. Tissaphernes et Ariaeus cum suis. V. III, 2, 2.

ἀγαθῶν] i. q. *τῶν ἐπιτηδείων*. V. infra ad IV, 4, 9.

§. 2. *νομαὶ — βοσκημάτων*] greges armentorum, quae pascebantur.

κατελήφθησαν] Buttmannus legendum suspicabatur *κατελείφθησαν*: frustra; significare enim voluit Xenophon hoc: multi greges deprehensi sunt, quum in oppositam fluminis ripam transportarentur.

§. 3. *Ἐνταῦθα*] De asyndeto v. ad I, 1, 9.

ἐννοούμενοι, μὴ — οὐκ ἔχοιεν] reputantes, num — non haberent. Adiuncta est notio metuendi. Cf. IV, 2, 13: *ἐννοήσας —, μὴ — οἱ πολέμιοι ἐπιθοῖντο τοῖς ὑποζυγίοις*. VI, 1, 28: *ἐκεῖνο ἐννοῶ, μὴ λίαν ἂν ταχὺ σωφρονισθείην*. Sic *οἰκτείρω σε, μή τι — πάθῃς* Oec. II, 7., ubi v. Breitenb. Similiter supra III, 1, 5. *ὑποπτεύσας, μὴ — εἴη*. V. nos in Gr. T. II. §. 779, 1. (Gr. schol. §. 318. not. 6.) De *οὐκ ἔχοιεν, ὁπόθεν λαμβάνοιεν* v. ad II, 4, 5.

§. 4. *Καὶ οἱ μὲν ἀμφὶ Χ. ἀπήεσαν ἐκ τῆς βοηθείας*] Obscurius h. l. locutus est Xenophon; nam huius *βοηθείας* nullam antea mentionem fecit. Videntur igitur Cherisophus eiusque milites auxilium tulisse eis Graecis, qui praedaturi dispersi erant, quum nonnulli eorum a Persis occisi essent. Eo tempore (*ἐνταῦθα*) Tissaphernes eiusque milites vicos comburere conati sunt. Qua re commotus Cherisophus eiusque milites redierunt *ἐκ τῆς βοηθείας* (h. e. postquam auxilium tulerunt). — Uti hoc loco brevitati Xenophon nimis studuit, ita paullo post verbosior videtur esse; nam verbis *ἡνίκα — οἱ Ἕλληνες* eadem sententia con-

τῷ πεδίῳ καὶ τῶν Ἑλλήνων κατέκοψάν τινας τῶν ἐσκεδασμένων ἐν τῷ πεδίῳ καθ' ἁρπαγήν· καὶ γὰρ νομαὶ πολλαὶ βοσκημάτων διαβιβαζόμεναι εἰς τὸ πέραν τοῦ ποταμοῦ κατελήφθησαν. Ἐνταῦθα Τισσαφέρνης καὶ οἱ σὺν 3
αὐτῷ καίειν ἐπεχείρησαν τὰς κώμας. Καὶ τῶν Ἑλλήνων μάλα ἠθύμησάν τινες ἐννοούμενοι, μὴ τὰ ἐπιτήδεια, εἰ καίοιεν, οὐκ ἔχοιεν, ὁπόθεν λαμβάνοιεν. Καὶ οἱ μὲν ἀμφὶ 4
Χειρίσοφον ἀπῄεσαν ἐκ τῆς βοηθείας· ὁ δὲ Ξενοφῶν ἐπεὶ κατέβη, παρελαύνων τὰς τάξεις, ἡνίκα ἀπὸ τῆς βοηθείας ἀπήντησαν οἱ Ἕλληνες, ἔλεγεν· Ὁρᾶτε, ὦ ἄνδρες 5
Ἕλληνες, ὑφιέντας τὴν χώραν ἤδη ἡμετέραν εἶναι; Ἃ γάρ, ὅτε ἐσπένδοντο, διεπράττοντο, μὴ καίειν τὴν βασιλέως χώ-

AB. — *κατελήφθησαν*] v. adn. — §. 3. *καίοιεν*] sic ABDE; reliqui *καύσοιεν*; legebatur *καύσειεν*; Weisk. corr. *καύσειαν*. — §. 4. *τὰς τάξεις*] sic ABDE; reliqui *ἐπὶ τὰς τάξεις*. — *ἀπήντησαν*] sic ABDEN; reliqui *ἀπῄεσαν*. — *οἱ Ἕλληνες*] v. adn. — §. 5. *ὑφιέντας*] *ὑφιέντα* ABD; *ὑφιέντες* Ald. — *καίειν — καίουσιν*] v. adn.

tinetur, quae verbis *οἱ μὲν ἀμφὶ Χ. ἀπῄεσαν ἐκ τ. β.*, at significare voluit Xenophon, se ordines suos praetervectum esse eo ipso temporis puncto, quum (*ἡνίκα*) Cherisophus cum suis militibus obviam facti essent. Quare neque cum Schneidero verba *καὶ οἱ μὲν ἀμφὶ Χ. ἀπῄεσαν ἐκ τ. β.* expungenda, neque cum Zeunio ut spuria uncis secludenda, neque vero verba *ἡνίκα — οἱ Ἑλλ.* tentanda censuerim.

ἐπεὶ κατέβη] postquam descendit; nam Xenophon cum militibus suis veniebat *ἀπὸ τοῦ ἄκρου*, quod hostes occupaturi erant. V. III, 4, 44 — 49.

ἀπήντησαν οἱ Ἕλληνες] Verba *οἱ Ἕλληνες* Schneiderus hic locum habere negat, quum de parte exercitus, quam ducebat Cherisophus, agatur, non de universo; sed bene defendit Dindorfius dicens: „Sunt iam barbaris contrarii, quot tandem cunque numero sunt ipsi."

§. 5. *ὑφιέντας*] i. q. *συγχωροῦντας* (concedentes). V. Sturz. L. Xen. T. IV. p. 415. Ne requiras pronomen *αὐτούς* (sc. *τοὺς πολεμίους*), monendum est saepe participium ita poni, ut hoc pronomen involvat. Cf. IV, 1, 17. *παρελθόντι* (sc. *αὐτῷ*). VI, 3, 16. *μένουσι* (sc. *ἡμῖν*). 4, 12. *μένουσι* (sc. *ἡμῖν*). 2, 15. *συνθεασόμενον* (sc. *αὐτόν*).

Ἃ] Saepe Graeci numerum pluralem pronominum referunt ad unam sententiam, uti h. l. *μὴ καίειν τὴν β. χώραν*. V. nos in Gr. T. II. §. 423. not. (Gr. schol. §. 241. not. 3.) Infra VI, 2, 6. *ταῦτά* relatum ad *μὴ ἀναγκάζειν κτλ.* 14. *διὰ ταῦτα.*

ὅτε ἐσπένδοντο] Vid. II, 3, 27.

διεπράττοντο] paciscebantur.

καίειν] Vulgo legitur *κάειν* (*κάειν*), sed tres optimi codices ABD exhibent *βαίνειν*, in qua scriptura sine dubio latet *καίειν*, atque eo firmius ea mihi videtur stare, quod etiam paullo

ραν, νῦν αὐτοὶ καίουσιν ὡς ἀλλοτρίαν. Ἀλλ' ἐάν που
καταλείπωσί γε αὐτοῖς τὰ ἐπιτήδεια, ὄψονται καὶ ἡμᾶς
6 ἐνταῦθα πορευομένους. Ἀλλ', ὦ Χειρίσοφε, ἔφη, δοκεῖ
μοι βοηθεῖν ἐπὶ τοὺς καίοντας ὡς ὑπὲρ τῆς ἡμετέρας.
Ὁ δὲ Χειρίσοφος εἶπεν· Οὔκουν ἔμοιγε δοκεῖ· ἀλλὰ καὶ
ἡμεῖς, ἔφη, καίωμεν, καὶ οὕτω θᾶττον παύσονται.
7 Ἐπεὶ δὲ ἐπὶ τὰς σκηνὰς ἦλθον, οἱ μὲν ἄλλοι περὶ
τὰ ἐπιτήδεια ἦσαν, στρατηγοὶ δὲ καὶ λοχαγοὶ συνῆλθον.
Καὶ ἐνταῦθα πολλὴ ἀπορία ἦν. Ἔνθεν μὲν γὰρ ὄρη ἦν

αὐτοῖς] Steph.; codd. αὐτοῖς vel αὐτούς, vel αὐτῆς. — §. 6. καίοντας] sic ABDE pro κάοντας; v. ad §. 5. — ὡς] om. AB. — καίωμεν] sic ABDE pro κάωμεν. — §. 7. ἦλθον] sic AB pro ἀπῆλθον. — στρατηγοὶ δέ] v. adn. — συνῆλθον] v. adn. — ὁ ποταμός] sic ABE; reliqui om. ὁ. — τὸ βά-

post ABDE habent καίουσιν pro vulgata κάουσιν (κᾴουσιν). Supra §. 3. καίειν in omnibus codd. legitur et καίοιεν in optimis (reliqui habent καύσοιεν); item infra §. 6. καίοντας et καίωμεν. Omnino omnibus fere locis Xenophontis librorum scriptura καίειν et κλαίειν aut omnium aut certe optimorum codicum auctoritate firmatur; pauci restant loci, in quibus alteram formam codd. tuentur, ut Cyrop. III, 3, 25., ubi optimus Guelferbytanus a prima manu exhibet ἔκαον, ibid. II, 2, 13., ubi idem codex dat κλάειν. Infra IV, 5, 5. κάοντες in duobus deterioribus libris legitur, ibid. 6. ἐκάετο in uno deteriore. VII, 7, 19. habent omnes codd. et edd. vett. κάειν praeter A, in quo est καίειν. Nec tragicos κάειν et κλάειν dixisse praeeunte Hermanno in praef. ad Soph. Aiacem p. XIX. docet Poppo ad h. l., itemque ad eandem sententiam accessisse Elmsleium ad Eurip. Bacch. 757., apud Thuc. quidem II, 49. optimos libros κάειν praebere, sed II, 52. omnes καίειν tueri. Unde apparet veterum Grammaticorum (v. Sturz. L. Xen. T. II. p. 624.) praeceptum, quo formas κάειν, κλάειν Ἀττικάς, et καίειν, κλαίειν κοινὰς esse tradunt, admodum vacillare.

νῦν αὐτοὶ καίουσιν] „Breviter dictum pro: νῦν αὐτοὶ ποιοῦσι καίοντες. Cyrop. I, 4, 6: ἃ πρόσθεν τῷ Σάκᾳ ἐμέμφετο, αὐτὸς ἤδη Σάκας ἑαυτῷ ἐγίγνετο." KRÜGERUS.

ἐνταῦθα πορευομένους] V. ad I, 10, 13.

§. 6. Οὔκουν] Nullo modo, nequaquam. V. nos in Excurs. III. ad Xen. Commentar. p. 492. et in Gr. schol. §. 324. not. 7.

§. 7. ἐπὶ τὰς σκηνάς] Supra III, 3, 1. tentoria combusta narrantur. Quare praeeunte Zeunio Weiskius interpretatur sub tecta vici se receperunt, uti 4, 32. κατασκηνῆσαι. Rectius Krügerus τὰς σκηνάς pro castris omnino accipiendum putat, quia hoc vocabulum castrorum nomini συνώνυμον factum sit.

στρατηγοὶ δέ] Weiskius scribendum censet οἱ δὲ στρατηγοί, uti §. 14. Hanc coniecturam probavit Schneiderus, itemque Poppo edidit [οἱ] στρατηγοὶ δέ; Krügerus iure nihil addendum censet, quum saepius in munerum nominibus articulus

ὑπερύψηλα, ἔνθεν δὲ ὁ ποταμὸς τοσοῦτος τὸ βάθος, ὡς
μηδὲ τὰ δόρατα ὑπερέχειν πειρωμένοις τοῦ βάθους. Ἀπο- 8
ρουμένοις δ' αὐτοῖς προςελθών τις ἀνὴρ Ῥόδιος εἶπεν·
Ἐγὼ θέλω, ὦ ἄνδρες, διαβιβάσαι ὑμᾶς κατὰ τετρακιςχι-
λίους ὁπλίτας, ἂν ἐμοὶ ὧν δέομαι ὑπηρετήσητε καὶ τά-
λαντον μισθὸν πορίσητε. Ἐρωτώμενος δέ, ὅτου δέοιτο, 9
Ἀσκῶν, ἔφη, διςχιλίων δεήσομαι· πολλὰ δ' ὁρῶ [ταῦτα]
πρόβατα καὶ αἶγας καὶ βοῦς καὶ ὄνους, ἃ ἀποδαρέντα καὶ
φυσηθέντα ῥᾳδίως ἂν παρέχοι τὴν διάβασιν. Δεήσομαι 10

θος] AB om. τό. — §. 8. ὦ ἄνδρες διαβιβάσαι ὑμᾶς] ὦ ἄνδρ. δ. ἡμᾶς AB; ὦ ἄνδρ. ἡμᾶς δ. E; ὑμᾶς διὰ ὦ ἄνδρ. βιβάσαι M; reliqui ὑμᾶς ὦ ἄνδρ. δ. — ἂν ἐμοί] sic ABD pro ἤν μοι. — §. 9. δέοιτο] sic ABEQ; reliqui δεήσοιτο. — [ταῦτα]] v. adn. — βοῦς] v. adn.

omittatur, comp. IV, 7, 25. (sed ibi articulus ne ex nostra quidem lingua desideratur), VI, 5, 12. 6, 30. VII, 3, 10. 15. Etiam IV, 6, 7. cum duobus optimis codd. legendum est *συνεκάλεσε στρατηγούς*.

συνῆλθον] ABDE exhibent *ἐνῆσαν*, mira, ut ait Schneiderus, varietate. §. 14. legitur *οἱ δὲ στρατηγοὶ καὶ οἱ λ. πάλιν συνῆλθον*. Ingeniosa est coniectura Bornemanni, qui legendum censet *συνῄεσαν*, quum saepissime *ἐν* et *σύν* permutata reperiantur. Cf. var. scr. IV, 3, 7. V, 3, 3.

ὄρη] τὰ Καρδούχια IV, 1, 3.

ὁ ποταμός] Tigris.

πειρωμένοις] IV, 3, 6: *πειρωμένοις τὸ ὕδωρ ὑπὲρ τῶν μαστῶν ἐφαίνετο*. De dativo participii v. Buttm. §. 133. not. 5. et 8. Rost. §. 161. add. Kühner. T. II. §. 581. a. (Gr. schol. §. 284, 3, 10. a.) Infra VI, 4, 1. *εἰςπλέοντι*.

§. 8. *κατὰ τετρακιςχιλίους*] quaterna milia.

§. 9. *πολλὰ δ' ὁρῶ [ταῦτα]*] Vocabulum *ταῦτα* uncis sepsi, quippe quod non legatur in optimis codicibus ABCD, quamquam per grammaticam rationem bene defendi potest ita, ut adverbii demonstrativi (hic) vices sustinere dicatur. Bornemannus in partes vocat Bastii epist. p. 279. et Schaeferi Melett. critt. p. 78. Cf. nos in Gr. T. II. §. 629, 1. (Gr. schol. §. 303, 2.) Mureti igitur coniectura *ἐνταῦθα* supersedere poterimus.

βοῦς] Sic legendum cum ABD pro *βόας*. Apposite Bornemannus in partes vocat Thom. Mag. (p. 160. ed. Iacobitz.): *λέγεται ἐπ' εὐθείας τῶν πληθυντικῶν βόες, εἰ καὶ Ἀριστοφάνης ἅπαξ βοῦς εἶπεν· ἐπὶ δὲ τῆς αἰτιατικῆς βοῦς*, comp. infra V, 10, 3. VI, 1, 22. VII, 7, 53. Commentar. I, 2, 32. Hellen. VI, 4, 29. et alibi.

καὶ φυσηθέντα] „Brevitatis studio ductus ad bestias refert, quod de bestiarum pellibus dicendum erat (ergo pro *φυσηθέντων τῶν δερμάτων* dictum).“ KRÜGERUS. „Utribus et inflatis et stramento refertis [v. supra ad I, 5, 10.] amnes traiiciendi multa collegerunt exempla Casaubonus ad Suet. Iul. 57. et Stewech. ad Veget. III, 7.“ HUTCHINS.

δὲ καὶ τῶν δεσμῶν, οἷς χρῆσθε περὶ τὰ ὑποζύγια· τούτοις ζεύξας τοὺς ἀσκοὺς πρὸς ἀλλήλους, ὁρμίσας ἕκαστον ἀσκὸν λίθους ἀρτήσας καὶ ἀφεὶς ὥςπερ ἀγκύρας εἰς τὸ ὕδωρ, διαγαγὼν καὶ ἀμφοτέρωθεν δήσας ἐπιβαλῶ
11 ὕλην καὶ γῆν ἐπιφορήσω. Ὅτι μὲν οὖν οὐ καταδύσεσθε, αὐτίκα μάλα εἴσεσθε· πᾶς γὰρ ἀσκὸς δύο ἄνδρας ἕξει τοῦ μὴ καταδῦναι· ὥςτε δὲ μὴ ὀλισθάνειν, ἡ ὕλη καὶ ἡ
12 γῆ σχήσει. Ἀκούσασι ταῦτα τοῖς στρατηγοῖς τὸ μὲν ἐνθύμημα χαρίεν ἐδόκει εἶναι, τὸ δ' ἔργον ἀδύνατον· ἦσαν γὰρ οἱ κωλύσοντες πέραν πολλοὶ ἱππεῖς, οἳ εὐθὺς τοῖς πρώτοις οὐδὲν ἂν ἐπέτρεπον τούτων ποιεῖν.

§. 10. *τούτοις ζεύξας*] sic ABD pro *τούτοις δ' ἔφη ζ.* — *ὁρμίσας*] v. adn. — *εἰς τὸ ὕδωρ, διαγαγών*] v. adn. — §. 11. *πᾶς γάρ*] sic ABDEN pro *ὁ γάρ*: quod si maiore codicum auctoritate niteretur, praeferrem. — *ὀλισθάνειν*] sic corr. Porson.; *ὀλισθῆναι* A; *ὀλισθᾶναι* BDE; reliqui *ὀλισθανεῖν*. — §. 12. *χαρίεν*] v. adn. — §. 13. *ὑπανεχώρουν*] sic BD pro *ἐπανεχώρουν*. — *ἤ*] v. adn. — *θαυμάζειν*] v. adn. — §. 14. *ἀμφὶ*

§. 10. *δεσμῶν*] Sunt loramenta. Cf. de re equestri V, 4: (*ὁ ἵππος*) *χαλᾷ — τὰ δεσμά.*

ὁρμίσας] stabiliens. Sic legunt BD, reliqui *ἁρμόσας*, quod utribus inflatis non convenit, quum contra *ὁρμίσας* ob sequentia *ἀφεὶς ὥςπερ ἀγκύρας* aptissimum sit.

ἀφεὶς ὥςπερ ἀγκύρας εἰς τὸ ὕδωρ, διαγαγών] Praepositionem *εἰς* omittunt ABD; absorpta videtur ab proxime antecedentis vocabuli ultima syllaba; *διαγαγών* pro *δὲ ἀγαγών* ex A et D recepimus distinctione, quae erat post *ἀγκύρας*, sublata, secuti Krügerum, qui hunc locum sic interpretatur: *indem ich Steine anbinde* (*ἀρτήσας*), *diese wie Anker nach entgegengesetzten Seiten* (*διαγαγών*) *hinabsenke* (*ἀφείς*) *und von beiden Seiten sie* (*an die Schläuche*) *anknüpfe.*

§. 11. *ἕξει τοῦ μὴ καταδῦναι*] prohibebit, ne demergantur. V. ad I, 3, 2. De seq. *ὥςτε μή* v. ad III, 3, 16.

§. 12. *Ἀκούσασι ταῦτα*] De asyndeto v. ad I, 1, 9. *τούτῳ.*

χαρίεν] Eustath. ad Il. II. p. 1088, 7: *τὸ δὲ χαρίεν δῆλον, ὡς ἐπὶ ὀνόματος παροξύνεται, καὶ ἀπαιτεῖ τοῦτο ἡ ἀναλογία τοῦ τιμῆεν, φωνῆεν, ἀγλῆεν καὶ τῶν ὁμοίων.* Alii ediderunt *χάριεν*, quod ut Atticum veteres Grammatici praescribunt, quanquam alii rectius ita distinguere videntur, ut *χάριεν* pro adverbio, *χαρίεν* pro adiectivo accipiendum sit. V. Sturz. L. Xen. T. IV. p. 531. Göttling. *Allg. Lehre v. Acc. d. gr. Spr.* p. 312. Car. E. Chr. Schneider. ad Platon. Civ. IV. p. 426. A. (T. I. p. 356.) K. Lehrs. Quaestt. Epicc. p. 143. Spitzner. ad Iliad. XVI, 798.

§. 13. *ὑπανεχώρουν εἰς τοὔμπαλιν ἢ πρὸς B.*] recedebant viam ingressi diversam ab ea, quae fert Babylonem versus. In hac scriptura omnes codd. conspirant, nisi quod A *ἤ* legit. Editores iniuria offenderunt in his verbis. Fuerunt qui illa *ἢ πρὸς B.*

Ἐνταῦθα τὴν μὲν ὑστεραίαν ὑπανεχώρουν εἰς 13
τοὔμπαλιν ἢ πρὸς Βαβυλῶνα εἰς τὰς ἀκαύστους κώμας
κατακαύσαντες ἔνθεν ἐξῄεσαν· ὥστε οἱ πολέμιοι οὐ προσήλαυνον, ἀλλὰ ἐθεῶντο καὶ ὅμοιοι ἦσαν θαυμάζειν, ὅποι
ποτὲ τρέψονται οἱ Ἕλληνες καὶ τί ἐν νῷ ἔχοιεν. Ἐνταῦ- 14
θα οἱ μὲν ἄλλοι στρατιῶται ἀμφὶ τὰ ἐπιτήδεια ἦσαν·
οἱ δὲ στρατηγοὶ καὶ οἱ λοχαγοὶ πάλιν συνῆλθον, καὶ
συναγαγόντες τοὺς ἑαλωκότας ἤλεγχον τὴν κύκλῳ πᾶ-
σαν χώραν, τίς ἑκάστη εἴη. Οἱ δ᾽ ἔλεγον, ὅτι τὰ πρὸς 15
μεσημβρίαν τῆς ἐπὶ Βαβυλῶνα εἴη καὶ Μηδίαν, δι᾽ ἧσπερ ἥκοιεν, ἡ δὲ πρὸς ἕω ἐπὶ Σοῦσά τε καὶ Ἐκβάτανα

τά] ἐπὶ τά A, ἐπεὶ τά B, quod ex περὶ τά ortum videtur Dindorfio. — *καὶ οἱ λοχαγοί*] om. ABE, fortasse recte; ex §. 7. additum videtur. — *ἑαλωκότας*] sic ABDEN; reliqui et Zonaras p. 988. Suidasque Vol. II. p. 51. αἰχμαλώτους; sed hi grammatici hunc locum non ad verbum expresserunt. — §. 15. *τὰ πρὸς μεσημβρίαν*] sic ABD; reliqui τὰ μὲν πρὸς μ., v. ad III, 4, 7. — *ἕω*] ἠῶ A, v. ad II, 4, 24.

omnia delenda censerent; aliis ἢ delendum videbatur; Holzmannus pro ἢ legendum coniecit τῇ; sed saltem τήν dicendum erat, uti recte monuit Bornemannus; Krügero ἢ ex proximo π ortum videtur. At vero omnes hae opiniones a vero aberrant. Quod Graeci recedebant, id non erat, quod mirarentur et ancipites haererent, quorsum Graeci se versuri essent; sed id barbaris non poterat non mirum videri, quod Graeci viam ingrederentur diversam ab ea, quae Babylonem versus ferebat.

ὅμοιοι ἦσαν θαυμάζειν] Sic Dindorfius cum ABDEN pro vulg. θαυμάζοντες. Si scriptura θαυμάζειν vera est, locutio ὅμοιοι ἦσαν secuta est structuram verbi ἐοικέναι, quod aut cum participio (ἔοικα ποιῶν τι) aut cum infinitivo (ἔοικα ποιεῖν τι) construitur. V. nos in Gr. schol. §. 311, 19. Si vero vulgata scriptura θαυμάζοντες vera est, locutio ὅμοιοι ἦσαν item secuta est structuram verbi ἐοικέναι, quod aut cum dativo aut cum nominativo participii construitur, ut ἔοικα θαυμάζοντι aut ἔοικα θαυμάζων. V. Gr. T. II. §. 656, 2. (Gr. schol. §. 310. not. 2.) Quum autem alias neque ὅμοιός εἰμι ποιεῖν τι, neque ὅμοιός εἰμι ποιῶν τι legatur, Porsonus legendum censet οἷοι ἦσαν θαυμάζειν, Stephanus ὅμ. ἦσαν θαυμάζουσιν, Muretus ὁμοῦ ἦσαν θαυμάζοντες.

ὅποι — τρέψονται — καὶ τί — ἔχοιεν] Prius tanquam verum indicativo, posterius tanquam id, quod ex priore demum ductum est, optativo exprimitur. Cf. ad II, 1, 3. De ὅποι — τί pro ὅποι — ὅ τι v. nos ad Commentar. IV, 4, 13. ὁποῖον — ἢ ποῖον. Contrario ordine supra II, 5, 7. legimus: οὔτ᾽ εἰς ποῖον σκότος ἀποδραίη οὔθ᾽ ὅπως — ἀποσταίη.

§. 14. *ἤλεγχον τὴν — χώραν, τίς — εἴη*] De attractione v. ad I, 1, 5. De verbo ἐλέγχειν (i. e. ἀνακρίνειν, examinare) v. Sturz. L. Xen. T. II. p. 129.

§. 15. *τῆς ἐπὶ Β.*] Scil. ὁδοῦ.

φέροι, ἔνθα θερίζειν καὶ ἐαρίζειν λέγεται βασιλεύς, ἡ δὲ διαβάντι τὸν ποταμὸν πρὸς ἑσπέραν ἐπὶ Λυδίαν καὶ Ἰωνίαν φέροι, ἡ δὲ διὰ τῶν ὀρέων καὶ πρὸς ἄρκτον τε-
16 τραμμένη ὅτι εἰς Καρδούχους ἄγοι. Τούτους δὲ ἔφασαν οἰκεῖν ἀνὰ τὰ ὄρη καὶ πολεμικοὺς εἶναι καὶ βασιλέως οὐκ ἀκούειν, ἀλλὰ καὶ ἐμβαλεῖν ποτε εἰς αὐτοὺς βασιλικὴν στρατιὰν δώδεκα μυριάδας· τούτων δὲ οὐδένα ἀπονοστῆσαι διὰ τὴν δυςχωρίαν· ὁπότε μέντοι πρὸς τὸν σατράπην τὸν ἐν τῷ πεδίῳ σπείσαιντο, καὶ ἐπιμιγνύναι
17 σφῶν τε πρὸς ἐκείνους καὶ ἐκείνων πρὸς ἑαυτούς. Ἀκούσαντες ταῦτα οἱ στρατηγοὶ ἐκάθισαν χωρὶς τοὺς ἑκαστα-

φέροι] φέρει ABD; φέροιεν FGHIKL; φέρειεν Ald. — καὶ ἐαρίζειν] om. AB. — φέροι] φέρει AB. — §. 16. τὸν ἐν τῷ πεδίῳ] τόν om. AB. — ἐπιμιγνύναι] v. adn. — σφῶν κτέ.] ἐφ' ᾧ τε πρὸς ἐκείνους καὶ ἐκεῖνον πρὸς ἑαυτούς ABD, nisi quod A ἐκεῖνον καὶ πρὸς ἑαυτοὺς ἐκεῖνος habet. Recte igitur Dind. pro πρὸς αὐτούς scripsit ἑαυτούς. — §. 17. Ἀκούσαντες ταῦτα] sic recte ABE pro ἀκούσ. δὲ ταῦτα. V. ad I, 1, 9. — οὐδὲν δὲ δῆλον ποιήσαντες] sic ABE

θερίζειν καὶ ἐαρίζειν] Cyrop. VIII, 6, 22: αὐτὸς (ὁ Περσῶν βασιλεὺς) — τὸν μὲν ἀμφὶ τὸν χειμῶνα χρόνον διῆγεν ἐν Βαβυλῶνι ἑπτὰ μῆνας· αὕτη γὰρ ἀλεεινὴ (tepida) ἡ χώρα· τὸν δὲ ἀμφὶ τὸ ἔαρ τρεῖς μῆνας ἐν Σούσοις· τὴν δὲ ἀκμὴν τοῦ θέρους δύο μῆνας ἐν Ἐκβατάνοις.

Καρδούχους] Hodie *Kurden*.

§. 16. βασιλέως οὐκ ἀκούειν] V. ad II, 6, 11.

ἐμβαλεῖν ποτε] Apud alios scriptores nulla huius expeditionis mentio fit.

ἀπονοστῆσαι] Vocabulum Homericum. V. Heiland. de dial. Xen. p. 16.

καὶ ἐπιμιγνύναι] Καὶ particulam recte explicat Krügerus sic: non modo pacem cum iis esse, sed etiam commercium. V. nos ad I, 3, 15. Ἐπιμιγνύναι praeferunt ABEN, eodemque ducit D, in quo est ἐπιμιγνῆναι; reliqui dant ἐπιμίγνυσθαι. Illam scripturam editores recte tuentur duobus locis Thucydidis I, 2. et 13., ubi etiam activum pro medio positum est. Etiam alia composita verbi μιγνύναι frequentissime reflexiva vi usurpantur. V. nos in Gr. T. II. §. 392. c. (Gr. schol. §. 249, 1.) Verba ἐπιμιγνύναι, ἐπιμίγνυσθαι et nomen ἐπιμιξία proprie dicuntur de mutuo duorum populorum inter se commercio. V. Sturz. L. Xen. T. II. p. 303.

σφῶν — ἐκείνων] Genitivi qui vocantur partitivi: nonnullos ex suis (ex Persis) cum illis (Carduchis) et ex illis cum ipsis. Sed observandum est rariorem esse usum genitivi partitivi, ubi is subiecti vices sustinet.

§. 17. τοὺς ἑκασταχόσε φάσκοντας εἰδέναι] „qui singuli sibi singulos regionum tractus cognitos aiebant." LEONCL. Sed adiuncta est notio κινήσεως: in quoscunque tractus iter futurum esset. V. Sturz. L. Xen. T. II. p. 90 sq.

§. 18. ὁπηνίκα καί] Καί intendit vim interrogativi ὁπηνί-

χόσε φάσκοντας εἰδέναι, οὐδὲν δὲ δῆλον ποιήσαντες, ὅποι πορεύεσθαι ἔμελλον. Ἐδόκει δὲ τοῖς στρατηγοῖς ἀναγκαῖον εἶναι διὰ τῶν ὀρέων εἰς Καρδούχους ἐμβαλεῖν· τούτους γὰρ διελθόντας ἔφασαν εἰς Ἀρμενίαν ἥξειν, ἧς Ὀρόντας ἦρχε πολλῆς καὶ εὐδαίμονος. Ἐντεῦθεν δ' εὔπορον ἔφασαν εἶναι, ὅποι τις ἐθέλοι πορεύεσθαι. Ἐπὶ 18
τούτοις ἐθύσαντο, ὅπως, ὁπηνίκα καὶ δοκοίη τῆς ὥρας, τὴν πορείαν ποιοῖντο· τὴν γὰρ ὑπερβολὴν τῶν ὀρέων ἐδεδοίκεσαν, μὴ προκαταληφθείη· καὶ παρήγγειλαν, ἐπειδὴ δειπνήσαιεν, συνεσκευασμένους πάντας ἀναπαύεσθαι καὶ ἕπεσθαι, ἡνίκ' ἄν τις παραγγέλλῃ.

pro οὐδὲν δῆλον π., levi anacolutho. — ἐμβαλεῖν] sic BD pro ἐμβάλλειν. — διελθόντας] sic ABD pro διελθόντες. — ἐθέλοι] sic BFGIK pro ἐθέλει. — §. 18. ὁπηνίκα καί] sic D; ἡνίκα καί BE; ἡνίκα A; reliqui cum Suida ὁπηνίκα. — ὀρέων] sic ABD pro ὀρῶν, v. ad I, 2, 21. — ἐδεδοίκεσαν] sic ABD pro ἐδεδοίκεισαν. V. ad IV, 2, 12. — δειπνήσαιεν] v. adn. — παραγγέλλῃ] sic B; eodem ducit A, qui habet παραγγέλῃ; reliqui παραγγείλῃ.

κα: *zu welcher Zeit auch bestimmt würde.* V. Hartung. *gr. Part.* T. I. p. 135 sq. et nos in Gr. T. II. §. 728, 2. (Gr. schol. §. 321. not. 5.) et ad Comment. I, 2, 47. Cf. infra V, 8, 2: ἐκέλευσεν εἰπεῖν, ποῦ καὶ ἐπλήγη, *an welchem Orte denn.* VII, 7, 10. ἀτὰρ τί καὶ πρὸς ἐμὲ λέγεις ταῦτα; *warum auch.*

τὴν — ὑπερβολὴν — ἐδεδοίκεσαν, μὴ προκαταληφθείη] De attractione v. ad I, 1, 5.

δειπνήσαιεν] Sic ABD pro vulg. δειπνήσειαν. Utraque forma Xenophonti frequentatur. V. nos ad Commentar. IV, 2, 30. Cf. infra VII, 1, 38. ἀποπλεύσαι. 5, 4. ἐμπολῆσαι. 8, 11. ποιῆσαι. Adde Breitenb. ad Oec. II, 8.

ἡνίκ' ἄν τις παραγγέλλῃ] Ob antecedens praeteritum exspectes ἡνίκα τις παραγγείλειεν. Sed hic locus eo magis est notabilis, quod paullo ante optativus ἐπειδὴ δειπνήσαιεν praecesserit. V. ad I, 3, 14.

LIBER QUARTUS.

1 I. Ὅσα μὲν δὴ ἐν τῇ ἀναβάσει ἐγένετο μέχρι τῆς μάχης, καὶ ὅσα μετὰ τὴν μάχην ἐν ταῖς σπονδαῖς, ἃς βασιλεὺς καὶ οἱ σὺν Κύρῳ ἀναβάντες Ἕλληνες ἐποιήσαντο, καὶ ὅσα, παραβάντος τὰς σπονδὰς βασιλέως καὶ Τισσαφέρνους, ἐπολεμήθη πρὸς τοὺς Ἕλληνας, ἐπακολουθοῦντος τοῦ Περσικοῦ στρατεύματος, ἐν τῷ πρόσθεν

Cap. I. §. 1. *ἐποιήσαντο*] v. adn. — *ἐπολεμήθη*] *ἐπολέμησε* A B D E N. — *Περσικοῦ*] sic A B D E N pro *Περσῶν*. — §. 2. *Ἐπεὶ δὲ — τὰ ἄκρα*] v. adn. — *ἐδόκει δή*] v. adn. — *στρατιώταις*] *στρατηγοῖς* Leonclavius ob III, 5, 17., nulla ta-

Cap. I. §. 1. *ἐποιήσαντο*] Sic cum Poppone scripsi obsecutus auctoritati optimorum codicum A B C (hic tamen in litura habet *σπείσαντο*) D E N Q pro *ἐσπείσαντο*, quod Popponi recte a grammaticis tales elegantias captantibus excogitatum videtur.

§. 2. *Ἐπεὶ δὲ ἀφίκοντο κτλ.*] Haec usque ad verba *καταλαβεῖν* §. 4., omissa in B C D E, suspecta habent Zeunius et Krügerus, quem vide in l. de authent. p. 34., quia nihil aliud contineant, nisi frigidam repetitionem eorum, quae superiore capite fuerint exposita. At neque vera ex omni parte sunt haec dicta; nam quae de Tigridis et Euphratis fontibus commemorantur, nova sunt; neque omnino magni momenti, praesertim quum totus locus nihil habeat, quod a Xenophontei sermonis consuetudine abhorreat. Cf. etiam Bornemannum in praefat. p. XXII sq.

ὁ μὲν Τίγρης — ἐκρέματο] Cf. III, 5, 7.

ἐδόκει δή] Sic Castellio; codd. *ἐδ. δέ*, quod retinuit Bornemannus; notus quidem est *δὲ* particulae in apodosi usus, v. nos in Gr. T. II. §. 738.; sed huius loci ea est ratio atque forma, quae illud *δέ* respuere videatur. *Δὴ* particula consecutiva in apodosi aptissima est h. l. V. ad I, 3, 5. De re v. III, 5, 17 sq.

§. 3. *τῶν ἁλισκομένων*] H. e. ex eis, qui capiebantur (*οἳ ἡλίσκοντο*).

Ἤκουον —, ὅτι, εἰ διέλθοιεν — ἣν — βούλωνται, διαβήσονται] Observa obliquae et rectae orationis confusionem. V. ad I, 3, 14.

Εὐφράτου] De fontibus Tigridis v. IV, 4, 3. et Euphratis IV, 5, 2.

τὰς πηγὰς ἐλέγετο — εἶναι] V. ad I, 2, 12.

οὐ πρόσω τοῦ Τίγρητος] Exspectes *οὐ πρόσω τῶν*

λόγῳ δεδήλωται. Ἐπεὶ δὲ ἀφίκοντο, ἔνθα ὁ μὲν Τίγρης 2
ποταμὸς παντάπασιν ἄπορος ἦν διὰ τὸ βάθος καὶ μέγεθος, πάροδος δὲ οὐκ ἦν, ἀλλὰ τὰ Καρδούχια ὄρη ἀπότομα ὑπὲρ αὐτοῦ τοῦ ποταμοῦ ἐκρέματο, ἐδόκει δὴ τοῖς στρατιώταις διὰ τῶν ὀρέων πορευτέον εἶναι. Ἤκουον 3
γὰρ τῶν ἁλισκομένων, ὅτι, εἰ διέλθοιεν τὰ Καρδούχια ὄρη, ἐν τῇ Ἀρμενίᾳ τὰς πηγὰς τοῦ Τίγρητος ποταμοῦ, ἢν μὲν βούλωνται, διαβήσονται, ἢν δὲ μὴ βούλωνται, περιίασι. Καὶ τοῦ Εὐφράτου δὲ τὰς πηγὰς ἐλέγετο οὐ πρόσω τοῦ Τίγρητος εἶναι. Καὶ ἔστιν οὕτως ἔχον. Τὴν 4
δ' εἰς τοὺς Καρδούχους ἐμβολὴν ὧδε ποιοῦνται, ἅμα μὲν λαθεῖν πειρώμενοι, ἅμα δὲ φθάσαι, πρὶν τοὺς πολεμίους καταλαβεῖν τὰ ἄκρα. Ἡνίκα δ' ἦν ἀμφὶ τὴν τε- 5
λευταίαν φυλακὴν καὶ ἐλείπετο τῆς νυκτὸς ὅσον σκοταίους διελθεῖν τὸ πεδίον, τηνικαῦτα ἀναστάντες ἀπὸ παραγγέλσεως πορευόμενοι ἀφικνοῦνται ἅμα τῇ ἡμέρᾳ

men necessitate cogente. — §. 3. *Καὶ ἔστιν οὕτως ἔχον*] v. adn. — §. 5. *Ἡνίκα δ'*] Ob antecedens *ὧδε* alii *δ'* uncis secluserunt, alii duce codice A, qui habet *ἐπεὶ δ' ἦν ἐπὶ τὴν τ.*, scripserunt *ἐπειδὴ ἦν ἀμφὶ τὴν τ.*; at v. ad §. 4.

(sc. *πηγῶν*) *τοῦ Τίγρητος*, uti Krügero legendum videtur; sed saepe Graeci attributum rei non ad attributum alterius rei, sed ad rem ipsam referunt. V. nos in Gr. T. II. §. 749. d. (Gr. schol. §. 323. not. 6.) et ad Xenoph. Commentar. III, 5, 4. p. 301. Cf. ad II, 3, 15.

Καὶ ἔστιν οὕτως ἔχον] Sic hunc locum Abreschius in Dilucidatt. Thuc. p. 640. emendavit. De *ἔστιν ἔχον* v. nos in Gr. T. II. §. 416, 4. (Gr. schol. §. 238. not. 5.) Codices corrupte dant: *καὶ ἔστιν οὕτω στενόν*. Alii aliter hunc locum sanare studuerunt, uti *καὶ ἔστιν οὗ τὸ στενόν* (Steph.), aut *καὶ ἔστιν ὅπου τι στενόν* (Leoncl.), aut *καὶ ἔστιν οὕτως, οὗ τὸ στενόν* (Lion.).

§. 4. *ὧδε ποιοῦνται — πειρώμενοι*] Saepe participium complementum est verbi antecedentis cum pronomine demonstrativo coniuncti. V. nos in Gr. T. II. §. 663. XI. et ad Xen. Commentar. II, 1, 30: *οὕτω γὰρ παιδεύεις — ὑβρίζουσα — κατακοιμίζουσα*. Infra VII, 7, 30. Sequens autem *δέ* in §. 5. (*ἡνίκα δ' ἦν*) est idem fere, quod *γάρ*. V. ad I, 7, 12.

§. 5. *ἀμφὶ τὴν τελευταίαν φυλακήν*] Graeci noctem in tres, Romani in quattuor vigilias dividebant.

τῆς νυκτὸς ὅσον — διελθεῖν] H. e. *τῆς νυκτὸς τοσοῦτον, ὅσον — διελθεῖν*, pro quo ex nostra loquendi consuetudine exspectes *τ. ν. τ., ὥστε — διελθεῖν*. Cf. infra IV, 8, 12. VII, 3, 22. Oec. XI, 18. V. nos in Gr. T. II. §. 788. not. 3. (Gr. schol. §. 341. not. 2.) et ad Xen. Commentar. I, 4, 6. p. 127. De v. *σκοταίους* v. ad II, 2, 17.

ἀπὸ παραγγέλσεως] V. ad II, 5, 32. *ἀπὸ τοῦ αὐτοῦ σημείου*. „Est, uti interpretatur Budaeus Comment. L. G. p. 606.

6 πρὸς τὸ ὄρος. Ἔνθα δὴ Χειρίσοφος μὲν ἡγεῖτο τοῦ στρατεύματος λαβὼν τὸ ἀμφ' αὐτὸν καὶ τοὺς γυμνήτας πάντας, Ξενοφῶν δὲ σὺν τοῖς ὀπισθοφύλαξιν ὁπλίταις εἵπετο οὐδένα ἔχων γυμνήτην· οὐδεὶς γὰρ κίνδυνος ἐδόκει εἶναι, μή τις ἄνω πορευομένων ἐκ τοῦ ὄπισθεν ἐπίσποι-
7 το. Καὶ ἐπὶ μὲν τὸ ἄκρον ἀναβαίνει Χειρίσοφος, πρίν τινα αἰσθέσθαι τῶν πολεμίων· ἔπειτα δ' ὑφηγεῖτο· ἐφείπετο δὲ ἀεὶ τὸ ὑπερβάλλον τοῦ στρατεύματος εἰς τὰς
8 κώμας τὰς ἐν τοῖς ἄγκεσί τε καὶ μυχοῖς τῶν ὀρέων. Ἔνθα δὴ οἱ μὲν Καρδοῦχοι ἐκλιπόντες τὰς οἰκίας ἔχοντες καὶ γυναῖκας καὶ παῖδας ἔφευγον ἐπὶ τὰ ὄρη. Τὰ δὲ ἐπιτήδεια πολλὰ ἦν λαμβάνειν, ἦσαν δὲ καὶ χαλκώμασι παμπόλλοις κατεσκευασμέναι αἱ οἰκίαι, ὧν οὐδὲν ἔφερον

§. 6. τὸ ἀμφ' αὐτόν] τὸ ἀμφ' αὐτόν IKL. — γυμνήτας — γυμνήτην] v. adn. — κίνδυνος ἐδόκει εἶναι] sic A B et Suidas pro ἐδόκει κ. εἶναι. — §. 7. πρίν τινα] πρίν τινας A B D. — ὑφηγεῖτο] ἐφηγεῖτο A B D; idem error in A infra VI, 5, 25. — ἐφείπετο δὲ ἀεὶ τό] ἐφείπετο δ' ἐκεῖ τό A B

ἀπὸ παραγγέλσεως aliquid fieri in castris vel in acie, quum classico non edicitur, sed per manus traditur et accipitur: quod etiam παρεγγυᾶν dicitur. Noster Ἱππαρχ. IV, 9: τάς γε μὴν ἐξαγωγὰς τοῦ ἱππικοῦ ἧττον ἂν οἱ πολέμιοι αἰσθάνοιντο, εἰ ἀπὸ παραγγέλσεως γίγνοιντο μᾶλλον, ἢ εἰ ἀπὸ κήρυκος ἢ ἀπὸ προγραφῆς." HUTCHINSON.

§. 6. γυμνήτας — γυμνήτην] Schneiderus et Dindorfius ediderunt γυμνῆτας et γυμνῆτα, quod probare non possum, licet apud Suidam Vol. I. p. 502. v. γυμνῆται, ubi hic locus affertur, legatur γυμνῆτας; nam γυμνήτας, γυμνήτην confirmantur auctoritate optimorum codicum A B D E N, nisi quod pro γυμνήτην A et D γυμνίτην habent. Utraque forma, et γυμνήτης et γυμνής, legitur apud Xenophontem, sed prior multo frequentius. Altera forma γυμνῆτες firmiter stat Cyrop. VII, 5, 5. et Hellen. II, 4, 25.; etiam infra IV, 6, 17. tres optimae notae codices exhibent γυμνῆτες. In eis locis, quibus duplex forma solo accentu discernitur, ubivis fere praevalet in codd. forma primae declinationis, ut γυμνήτας, γυμνητῶν.

ἄνω πορευομένων] Ob sequens ἐπίσποιτο requiras dativum: ne quis se adscendentes sequeretur; at v. ad I, 4, 12.

§. 7. ὑφηγεῖτο] agmen ducebat. V. Sturz. L. Xen. T. IV. p. 414.

ἐφείπετο δὲ ἀεὶ τὸ ὑπερβάλλον τοῦ στρ.] subsequebatur autem exercitus, ut quaeque eius pars iugum superabat. Unde apparet adverbium ἀεί (i. e. ἑκάστοτε, jedesmal) inter τό et ὑπερβάλλον ponendum fuisse; sed nonnunquam aut praemittitur, ubi cum vi quadam pronuntiandum est, aut postponitur, ubi maior vis in participio, minor in ἀεί posita est. Cyr. I, 4, 3: πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα. II, 3, 2: τὰ τῶν

οἱ Ἕλληνες, οὐδὲ τοὺς ἀνθρώπους ἐδίωκον ὑποφειδό-
μενοι, εἴ πως ἐθελήσειαν οἱ Καρδοῦχοι διιέναι αὐτοὺς
ὡς διὰ φιλίας τῆς χώρας, ἐπείπερ βασιλεῖ πολέμιοι ἦσαν·
τὰ μέντοι ἐπιτήδεια, ὅτῳ τις ἐπιτυγχάνοι, ἐλάμβανον· 9
ἀνάγκη γὰρ ἦν. Οἱ δὲ Καρδοῦχοι οὔτε καλούντων ὑπή-
κουον οὔτε ἄλλο φιλικὸν οὐδὲν ἐποίουν. Ἐπεὶ δὲ οἱ 10
τελευταῖοι τῶν Ἑλλήνων κατέβαινον εἰς τὰς κώμας ἀπὸ
τοῦ ἄκρου ἤδη σκοταῖοι· διὰ γὰρ τὸ στενὴν εἶναι τὴν
ὁδὸν ὅλην τὴν ἡμέραν ἡ ἀνάβασις αὐτοῖς ἐγένετο καὶ
κατάβασις εἰς τὰς κώμας· τότε δὴ συλλεγέντες τινὲς τῶν
Καρδούχων τοῖς τελευταίοις ἐπέθεντο, καὶ ἀπέκτεινάν
τινας καὶ λίθοις καὶ τοξεύμασι κατέτρωσαν, ὀλίγοι τινὲς
ὄντες· ἐξ ἀπροσδοκήτου γὰρ αὐτοῖς ἐπέπεσε τὸ Ἑλλη-
νικόν. Εἰ μέντοι τότε πλείους συνελέγησαν, ἐκινδύνευ- 11

CN. — §. 8. εἴ πως ἐθ.] sic ABE; male reliqui εἴ πως ἂν ἐθ. — §. 9. ὅτῳ] v. adn. — §. 10. Ἐπεί] sic ABD pro ὅτε. — ἐπέθεντο] sic DEN pro ἐπετίθεντο. — ἀπέκτειναν] sic ADEIKN pro ἀπέκτεινον. — ὀλίγοι τινές] τινές om. ABE. —

νικωμένων πάντα τοῖς νικῶσιν ἀεὶ ἆθλα πρόκειται. Cf. Schwidop. Progr. Regiom. 1839. p. 5. De v. ὑπερβάλλειν, transire, superare, cf. VI, 5, 7. VII, 5, 5.

§. 8. γυναῖκας καὶ παῖδας] V. ad I, 4, 8.

χαλκώμασι] „vasis aeneis. Secundum Athenaeum VI. p. 231. B. videtur potius dicendum esse χαλκοῦς κόσμος. Sed Pollux X, 174. φαίης δ' ἄν, inquit, — καὶ χαλκώματα ἐν μέρει τῶν σκευῶν, h. l. allato." STURZ. L. Xen. T. IV. p. 529.

ὧν —, οὐδὲ] Est genus quoddam mutatae structurae simile ei, quod supra ad I, 1, 2. tetigimus.

εἴ πως] H. e. πειρώμενοι, εἴ πως κτλ., experientes, num quo modo. V. nos in Gr. T. II. §. 837. not. 5. (Gr. schol. §. 344. not. 9.) Cf. infra §. 21. V, 4, 3. VI, 1, 31. VII, 1, 31. ἢν μὲν δυνώμεθα.

ὡς διὰ φιλίας τῆς χώρας] H. e. διὰ τῆς χώρας ὡς φιλίας. Cf. V, 4, 2. VII, 8, 11. ὡς ἑτοίμων δὴ χρημάτων. Particula ὡς adiectivis eadem vi additur, qua participiis. V. ad I, 1, 10. et nos in Gr. T. II. §. 830, 4.

§. 9. ὅτῳ] Sic Stephanus verissime legendum coniecit pro ὅ τι. De singulari ὅτῳ post pluralem posito et de optativo ἐπιτυγχάνοι v. ad I, 1, 5. ὅςτις δ' ἀφικνοῖτο.

καλούντων ὑπήκουον] H. e. Graecis ad colloquendum invitantibus morem gerebant. Exspectes καλοῦσι (τοῖς Ἕλλησιν) ὑπήκουον, at v. ad I, 4, 12.

§. 10. σκοταῖοι] V. ad II, 2, 17.

ἐξ ἀπροσδοκήτου γὰρ — τὸ Ἑλλ.] H. e. Carduchi enim improviso Graecorum adventu occupati erant. Γὰρ particula rationem reddit verborum ὀλίγοι τινὲς ὄντες.

§. 11. ἐκινδύνευσεν ἄν] Post ἐκινδύνευσεν et addi et omitti potest ἄν. V. nos in Gr. T. II. §. 822. (Gr. schol. §. 260.

σεν ἂν διαφθαρῆναι πολὺ τοῦ στρατεύματος. Καὶ ταύτην μὲν τὴν νύκτα οὕτως ἐν ταῖς κώμαις ηὐλίσθησαν· οἱ δὲ Καρδοῦχοι πυρὰ πολλὰ ἔκαιον κύκλῳ ἐπὶ τῶν
12 ὀρέων καὶ συνεώρων ἀλλήλους. Ἅμα δὲ τῇ ἡμέρᾳ συνελθοῦσι τοῖς στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων ἔδοξε τῶν τε ὑποζυγίων τὰ ἀναγκαῖα καὶ δυνατώτατα πορεύεσθαι ἔχοντας, καταλιπόντας τἆλλα, καί, ὁπόσα ἦν νεωστὶ αἰχμάλωτα ἀνδράποδα ἐν τῇ στρατιᾷ, πάντα ἀφεῖναι.
13 Σχολαίαν γὰρ ἐποίουν τὴν πορείαν πολλὰ ὄντα τὰ ὑποζύγια καὶ τὰ αἰχμάλωτα, πολλοὶ δὲ οἱ ἐπὶ τούτοις ὄντες ἀπόμαχοι ἦσαν, διπλάσιά τε τὰ ἐπιτήδεια ἔδει πορίζεσθαι καὶ φέρεσθαι, πολλῶν τῶν ἀνθρώπων ὄντων. Δόξαν δὲ ταῦτα, ἐκήρυξαν οὕτω ποιεῖν.
14 Ἐπεὶ δὲ ἀριστήσαντες ἐπορεύοντο, ὑποστάντες ἐν στενῷ οἱ στρατηγοί, εἴ τι εὑρίσκοιεν τῶν εἰρημένων μὴ ἀφειμένον, ἀφῃροῦντο· οἱ δ᾽ ἐπείθοντο, πλὴν εἴ τίς τι

§. 11. πολύ] sic ABDENQ pro πολλά. — πυρὰ πολλὰ ἔκ. κ.] sic ABD; κύκλῳ πυρὰ πολλὰ ἔκ. EN et omisso πολλά reliqui. — §. 12. καὶ δυνατώτατα] sic AB pro καὶ τὰ δ. — τἆλλα] τ᾽ ἆλλα A, τ᾽ ἄλλα B; vulgo τὰ ἄλλα. — ὁπόσα] ὅσα AE. — ἀφεῖναι] ἀφιέναι HIKL. — §. 13. ἐποίουν] sic ABDE pro ἐποιοῦντο. — πολλοὶ δὲ οἱ] v. adn. — τὰ ἐπιτήδ.] τά om. ABE. — Δόξαν] δόξαντα BN; v. adn. — §. 14. Ἐπεί] sic

not. 3.) Additum legitur etiam Hellen. IV, 3, 23. V, 2, 41. VI, 2, 23: ἐκινδύνευσαν δ᾽ ἂν καὶ τὸ στρατόπεδον ἑλεῖν —, εἰ μὴ οἱ διώκοντες — ἀπεστρέφοντο.

συνεώρων ἀλλήλους] ignes accensi erant signa, quibus Carduchi inter se observare poterant.

§. 12. δυνατώτατα πορεύεσθαι] Infinitivus πορεύεσθαι non, uti Sturzius in L. Xen. T. I. p. 779. vult, a δυνατώτατα, sed ab ἔδοξε pendet.

ἔχοντας, καταλιπόντας] De accusativis pro dat. positis v. ad I, 2, 1. ἥκειν παρήγγειλε λαβόντα.

§. 13. πολλοὶ δὲ οἱ ἐπὶ τούτοις ὄντες] Sic exhibent duo optimi codd. A et B pro καὶ πολλοὶ δὴ αὐτῶν οἱ ἐπὶ τ. ὄντες, quanquam habet haec scriptura, quo defendi possit; primum de καὶ πολλοὶ δή, et vero multi, v. nos in Gr. T. II. §. 691. (Gr. schol. §. 315, 1.); de αὐτῶν, ipsorum (h. e. Graecorum), in oppositione dicto v. nos ibid. T. II. §. 630. not. 3. Cf. infra IV, 8, 28., ubi αὐτούς, oppositum τοῖς ἵπποις, significat sessores.

οἱ ἐπὶ τούτοις ὄντες] qui eis praefecti erant, h. e. quibus eos ducendi custodiendique cura demandata erat. De ἐπὶ praepositione v. nos ad I, 4, 2.

Δόξαν δὲ ταῦτα] V. nos in Gr. schol. §. 312. not. 11.

§. 14. ὑποστάντες] BD habent ὑποστήσαντες, h. e. quum subsistere suos iussissent; E habet ἐπιστήσαντες, unde Poppo correxit ἐπιστάντες;

ἔκλεψεν, οἷον ἢ παιδὸς ἐπιθυμήσας ἢ γυναικὸς τῶν εὐ-
πρεπῶν. Καὶ ταύτην μὲν τὴν ἡμέραν οὕτως ἐπορεύθη-
σαν, τὰ μέν τι μαχόμενοι, τὰ δὲ καὶ ἀναπαυόμενοι. Εἰς 15
δὲ τὴν ὑστεραίαν γίγνεται χειμὼν πολύς, ἀναγκαῖον δ'
ἦν πορεύεσθαι· οὐ γὰρ ἦν ἱκανὰ τὰ ἐπιτήδεια. Καὶ ἡγεῖ-
το μὲν Χειρίσοφος, ὠπισθοφυλάκει δὲ Ξενοφῶν. Καὶ 16
οἱ πολέμιοι ἰσχυρῶς ἐπετίθεντο, καί, στενῶν ὄντων τῶν
χωρίων, ἐγγὺς προσιόντες ἐτόξευον καὶ ἐσφενδόνων· ὥςτε
ἠναγκάζοντο οἱ Ἕλληνες ἐπιδιώκοντες καὶ πάλιν ἀναχά-
ζοντες σχολῇ πορεύεσθαι· καὶ θαμινὰ παρήγγειλεν ὁ Ξε-
νοφῶν ὑπομένειν, ὅτε οἱ πολέμιοι ἰσχυρῶς ἐπικέοιντο.
Ἔνθα ὁ Χειρίσοφος ἄλλοτε μέν, ὅτε παρεγγυῷτο, ὑπέ- 17
μενε, τότε δὲ οὐχ ὑπέμενεν, ἀλλ' ἦγε ταχέως καὶ παρηγ-
γύα ἕπεσθαι, ὥςτε δῆλον ἦν, ὅτι πρᾶγμά τι εἴη· σχολὴ
δ' οὐκ ἦν ἰδεῖν παρελθόντι τὸ αἴτιον τῆς σπουδῆς· ὥςτε
ἡ πορεία ὁμοία φυγῇ ἐγίγνετο τοῖς ὀπισθοφύλαξι. Καὶ 18

ABE pro ἐπειδή. — ὑποστάντες] v. adn. — ἐν στενῷ] ἐν τῷ στ. ABL. — ἀφειμένον] sic B; ἀφειμένων A; reliqui ἀφιέμενον. — εἴ τίς τι] τί om. AB. — οἷον] sic ABDE; reliqui om. — τὰ δὲ καὶ ἀν.] τὰ δέ τι ἀν. AB; τὰ δὲ ἀν. HL. — §. 15. γίγνεται χ.] sic AB pro χ. γίνεται. — §. 16. παρήγγειλεν] παρήγγελλεν B; παρήγγελεν A; v. var. scr. I, 4, 12. — §. 17. Ἔνθα] ἐνταῦθα ABE. — φυγῇ] v. adn.

„nam", inquit, „ὑφίστασθαι subsistendi vim apud Xenophontem saltem non aliter habet, quam si notio resistendi hostibus (ut Cyrop. IV, 2, 31.) accedit." Sed recte monet Krügerus etiam h. l. in hoc verbo resistendi notionem quodammodo latere. Pari modo etiam infra IV, 7, 9. optimorum codd. scriptura ὑφίστασαν iniuria tentata est.

εἴ τι εὑρίσκοιεν] V. ad I, 10, 18. et ad I, 2, 7. ὁπότε — βούλοιτο.

ἔκλεψεν] furtim abstulit.

οἷον ἢ παιδὸς ἐπιθυμήσας ἢ γυναικὸς τῶν εὐπρεπῶν] Per genus quoddam attractionis dictum pro: οἷον ἢ παῖδα ἢ γυναῖκα τῶν εὐπρεπῶν ἐπιθυμήσας αὐτῶν.

§. 15. χειμών] tempestas, procella.

§. 16. ἀναχάζοντες] ἀναχωροῦντες; alias Xenophon usus est forma mediali; v. Sturz. L. Xen. T. I. p. 223. Ceterum recte docet Poppo verbum ἀναχάζειν, — εσθαι esse poeticum. IV, 7, 10. ἀνεχάζετο. Cyrop. VII, 1, 34. ἀνεχάζοντο. Infra IV, 8, 18. verissima coniectura Schneiderus scripsit διαχάζοντας. Etiam sequens θαμινά (frequenter), quod aliis quoque locis apud Xenophontem legitur, poeticum est.

ὅτε — ἐπικέοιντο] V. ad I, 2, 7.

§. 17. ἄλλοτε μὲν — τότε δέ] alias quidem — substiterat, tunc autem non substiterat.

ὁμοία φυγῇ] Sic duo optimi codd. A et B, ceteri φυγῆς.

ἐνταῦθα ἀποθνήσκει ἀνὴρ ἀγαθός, Λακωνικός, Κλεώνυμος, τοξευθεὶς διὰ τῆς ἀσπίδος καὶ τῆς στολάδος εἰς τὰς πλευράς, καὶ Βασίας Ἀρκάς, διαμπερὲς τὴν κεφαλήν.
19 Ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ σταθμόν, εὐθὺς ὥςπερ εἶχεν ὁ Ξενοφῶν ἐλθὼν πρὸς τὸν Χειρίσοφον ᾐτιᾶτο αὐτόν, ὅτι οὐχ ὑπέμεινεν, ἀλλ' ἠναγκάζοντο φεύγοντες ἅμα μάχεσθαι. Καὶ νῦν δύο καλώ τε κἀγαθὼ ἄνδρε τέθνατον, καὶ
20 οὔτε ἀνελέσθαι οὔτε θάψαι ἐδυνάμεθα. Ἀποκρίνεται ὁ Χειρίσοφος· Βλέψον, ἔφη, πρὸς τὰ ὄρη καὶ ἰδὲ ὡς ἄβατα πάντα ἐστί· μία δὲ αὕτη ὁδός, ἣν ὁρᾷς, ὀρθία, καὶ ἐπὶ ταύτῃ ἀνθρώπων ὁρᾶν ἔξεστί σοι ὄχλον τοσοῦτον, οἳ
21 κατειληφότες φυλάττουσι τὴν ἔκβασιν. Ταῦτ' ἐγὼ ἔσπευδον καὶ διὰ τοῦτό σε οὐχ ὑπέμενον, εἴ πως δυναίμην φθάσαι, πρὶν κατειλῆφθαι τὴν ὑπερβολήν· οἱ δ' ἡγεμό-
22 νες, οὓς ἔχομεν, οὔ φασιν εἶναι ἄλλην ὁδόν. Ὁ δὲ Ξενο-

§. 18. *τὴν κεφαλήν*] v. adn. — §. 19. *Ἐπεὶ — εὐθύς*] *Ἐπειδὴ δέ ποτε ἀφικνοῦντο σπείσασθαι εὐθύς* FGHIKL et Ald. — *ἐπὶ σταθμόν*] Schneid. et Poppo articulum *τόν* adiiciendum censuerunt, ego non item. — *καλώ τε κἀγ.*] *καλὼ καὶ ἀγαθώ* B. V. ad II, 6, 19. — *ἄνδρε*] *ἄνδρες* A. — *τέθνατον*] sic B; eodem ducit A, in quo est *τεθνάτων*; reliqui *τεθνάτην*. — *θάψαι ἐδυν.*] sic ABE pro *θάψαι αὐτὼ ἐδ.* — §. 20. *Ἀποκρίνεται ὁ Χ.*] sic ABE pro *Ἀποκρ. πρὸς ταῦτα ὁ Χ.* — *πρὸς τὰ ὄρη*] sic ABD; *εἰς ἄλλα ὄρη* MO; reliqui *εἰς τὰ ὄρη*. — *ἰδέ*] sic scripsimus pro vulg. *ἴδε*. V. Göttling. de acc. p. 52 sq. — *ἀνθρώπων ὁρᾶν ἔξεστί σοι*] sic B; *ἀνθρ. ὁρᾶν ἔξ-*

At genitivus cum *ὅμοιος* iunctus nec usquam alibi apud Xenophontem reperitur, et dubius est etiam apud alios scriptores, uti docte demonstravit C. E. Chr. Schneiderus ad Plat. Civ. Vol. II. p. 104.

§. 18. *στολάδος*] V. ad III, 3, 20.

διαμπερές] Vocabulum Homericum. V. Sturz. L. X. T. I. p. 694. Cf. infra VII, 8, 14.

τὴν κεφαλήν] Sic recte ABE; repetendum est *τοξευθείς*; reliqui exhibent *εἰς τ. κ.*; at praepositio sine dubio adhaesit ex antecedentibus, ubi tamen prorsus necessaria erat.

§. 19. *ὥςπερ εἶχεν*] sicut erat, h. e. sine ulla mora.

Καὶ νῦν] Et sic, itaque. V. ad I, 9, 6. Observanda est oratio recta post obliquam sine interiecto *ἔφη* illata. V. ad I, 3, 14.

§. 20. *Ἀποκρίνεται*] De asyndeto v. ad I, 1, 9.

τὴν ἔκβασιν] Aditum ad montis iugum appellat Xenophon h. l. *ἔκβασιν*, respectu habito Graecorum, quibus hic aditus idem erat exitus ex iniquo loco.

§. 21. *Ταῦτ' ἐγώ*] De asyndeto v. ad I, 1, 9. De accusativo *ταῦτα*, qui pro *διὰ ταῦτα* positus videtur, v. nos in Gr. T. II. §. 549. not. 2. (Gr. schol. §. 278.

φῶν λέγει· Ἀλλ' ἐγὼ ἔχω δύο ἄνδρας. Ἐπεὶ γὰρ ἡμῖν πράγματα παρεῖχον, ἐνηδρεύσαμεν, ὅπερ ἡμᾶς καὶ ἀναπνεῦσαι ἐποίησε, καὶ ἀπεκτείναμέν τινας αὐτῶν, καὶ ζῶντας προυθυμήθημεν λαβεῖν αὐτοῦ τούτου ἕνεκεν, ὅπως ἡγεμόσιν εἰδόσι τὴν χώραν χρησαίμεθα.

Καὶ εὐθὺς ἀγαγόντες τοὺς ἀνθρώπους ἤλεγχον δια- 23
λαβόντες, εἴ τινα εἰδεῖεν ἄλλην ὁδὸν ἢ τὴν φανεράν. Ὁ
μὲν οὖν ἕτερος οὐκ ἔφη, καὶ μάλα πολλῶν φόβων προς-
αγομένων· ἐπεὶ δὲ οὐδὲν ὠφέλιμον ἔλεγεν, ὁρῶντος τοῦ
ἑτέρου, κατεσφάγη. Ὁ δὲ λοιπὸς ἔλεξεν, ὅτι οὗτος μὲν οὐ 24
φαίη διὰ ταῦτα εἰδέναι, ὅτι αὐτῷ ἐτύγχανε θυγάτηρ ἐκεῖ
παρ' ἀνδρὶ ἐκδεδομένη· αὐτὸς δ' ἔφη ἡγήσεσθαι δυνατὴν
καὶ ὑποζυγίοις πορεύεσθαι ὁδόν. Ἐρωτώμενος δ', εἰ εἴη 25
τι ἐν αὐτῇ δυςπάριτον χωρίον, ἔφη εἶναι ἄκρον, ὃ εἰ μή
τις προκαταλήψοιτο, ἀδύνατον ἔσεσθαι παρελθεῖν. Ἐν- 26
ταῦθα ἐδόκει συγκαλέσαντας λοχαγοὺς καὶ πελταστὰς καὶ

ἐστί τοι ὁρᾶν; reliqui ὁρ. ἀνθρ. ἔξεστί σοι. — §. 22. ἀπεκτείναμεν] sic A E; ἀπέκτεινα μέν B; reliqui ἀπεκτείναμεν μέν. — αὐτοῦ τούτου ἕνεκεν] αὐτοὺς τούτου ἕνεκα A B. — χρησαίμεθα] sic A E, sed addito αὐτοῖς; eodem ducit χρησαίμεθα in B; reliqui χρησώμεθα. — §. 23. καὶ μάλα] καί om. A B. — ἐπεί] sic A B E pro ἐπειδή. — §. 24. οὐ φαίη διὰ ταῦτα] sic A B pro δ. τ. οὐ φ. — ἐτύγχανε] sic A B D pro τυγχάνει. — §. 25. δυςπάριτον] sic recte Porson. e Suida c. Etym. M. et Zon. pro vulg. δύςβατον; A B E δυςπόριστον. — §. 26. Ἐνταῦθα ἐδ.] Ἐντ. δὲ ἐδ. A; at v. ad I, 1, 9.

not. 2.) Menkius provocat ad Coraes. ad Heliodor. I, 26. p. 46 sq.

εἴ πως δυναίμην] πειρώμενος, εἴ π. δ. V. ad §. 8.

τὴν ὑπερβολήν] cacumen montis. Proprie ἡ εἰς τὸ πεδίον ὑπερβολή, uti IV, 6, 5.

§. 22. παρεῖχον] Scil. hostes.

ὅπερ — ἐποίησε] unde factum est, ut ex aerumnis, quibus pressi eramus, respirare possemus.

προυθυμήθημεν] studuimus.

§. 23. καὶ μάλα — προςαγομένων] vel admodum multis terriculis adhibitis. De plurali φόβοι (terricula, *Schreckmittel*) v. ad II, 5, 1.

§. 24. διὰ ταῦτα] Ne exspectes διὰ τοῦτο, v. nos in Gr. T. II. §. 423. not. (Gr. schol. §. 241. not. 3.)

ἐτύγχανε] Exspectes τυγχάνοι, praesertim quum optativus φαίη praecedat; at v. ad I, 2, 1. et ad I, 3, 14. εἰ μὴ βούλεται.

παρ' ἀνδρὶ ἐκδεδομένη] viro nuptum data.

δυνατήν] V. ad I, 2, 21.

§. 25. τις] V. ad I, 4, 12.

§. 26. ἐδόκει συγκαλέσαντας] V. ad I, 2, 1.

λοχαγοὺς καὶ πελταστὰς καὶ τῶν ὁπλιτῶν] H. e. centuriones et ex peltastis et

τῶν ὁπλιτῶν λέγειν τε τὰ παρόντα καὶ ἐρωτᾶν, εἴ τις αὐτῶν ἔστιν, ὅστις ἀνὴρ ἀγαθὸς ἐθέλοι ἂν γενέσθαι καὶ
27 ὑποστὰς ἐθελοντὴς πορεύεσθαι. Ὑφίσταται τῶν μὲν ὁπλιτῶν Ἀριστώνυμος, Μεθυδριεὺς Ἀρκάς, καὶ Ἀγασίας, Στυμφάλιος Ἀρκάς. Ἀντιστασιάζων δὲ αὐτοῖς Καλλίμαχος, Παῤῥάσιος Ἀρκάς, καὶ οὗτος ἔφη ἐθέλειν πορεύεσθαι προσλαβὼν ἐθελοντὰς ἐκ παντὸς τοῦ στρατεύματος· ἐγὼ γάρ, ἔφη, οἶδα, ὅτι ἕψονται πολλοὶ τῶν νέων,
28 ἐμοῦ ἡγουμένου. Ἐκ τούτου ἐρωτῶσιν, εἴ τις καὶ τῶν γυμνητῶν ταξιαρχῶν ἐθέλοι συμπορεύεσθαι. Ὑφίσταται Ἀριστέας Χῖος, ὃς πολλαχοῦ πολλοῦ ἄξιος τῇ στρατιᾷ εἰς τὰ τοιαῦτα ἐγένετο.

1 II. Καὶ ἦν μὲν δείλη ἤδη, οἱ δ' ἐκέλευον αὐτοὺς ἐμφαγόντας πορεύεσθαι. Καὶ τὸν ἡγεμόνα δήσαντες παραδιδόασιν αὐτοῖς καὶ συντίθενται τὴν μὲν νύκτα, ἣν λάβωσι τὸ ἄκρον, τὸ χωρίον φυλάττειν, ἅμα δὲ τῇ ἡμέρᾳ

ἐθέλοι ἄν] sic B et Suidae codex Leidensis; eodem ducit scriptura ἐθέλει ἄν, quam habent A et Suidas in editionibus; reliqui ἐθέλοι sine ἄν. — §. 27. Ὑφίσταται] v. adn. — ἐγὼ γάρ, ἔφη, οἶδα] sic ABDE pro εὖ γὰρ οἶδα, ἔφη. — §. 28. ταξιαρχῶν] sic ABD pro ἢ ταξιαρχῶν. — τὰ τοιαῦτα] sic ABD pro ταῦτα.

Cap. II. §. 1. δείλη ἤδη, οἱ δ' ἐκ.] sic legitur praeeunte Hutchinsono, qui correxit ἤδη δείλη, οἱ δ' ἐκ.; δείλη, οἱδ' ἐκ. omisso ἤδη ABDE; reliqui δείλη, ἤδη δ' ἐκ. — συμβοη-

ex militibus gravis armaturae. Vocabulum πελταστάς h. l. pro adiectivo accipiendum est. Comparat Krügerus γυμνῆτες ταξίαρχοι (§. 28.), ὀπισθοφύλακες ὁπλῖται (§. 6.), ὀπισθοφύλακες λοχαγοί (IV, 7, 8.). Adde VI, 5, 9. λόχους φύλακας.

τὰ παρόντα] praesentem rerum conditionem.

ἀγαθὸς — γενέσθαι] fortem se praebere. V. ad I, 7, 4.

ὑποστάς] re suscepta.

§. 27. Ὑφίσταται] Sic ABE pro ὑφίστανται. Singularis bene se tuetur. V. nos in Gr. T. II. §. 433, 1. (Gr. schol. §. 242, 1. b.) Cf. infra VII, 6, 1. ἀφικνεῖται Χαρμῖνος καὶ Πολύνικος (ex opt. codd.) 39. ἐρωτῶντος ἐμοῦ καὶ Πολυνίκου.

Μεθυδριεύς] Methydrion Arcadiae oppidum.

§. 28. πολλαχοῦ πολλοῦ] V. ad I, 9, 2.

πολλοῦ ἄξιος τῇ στρατιᾷ εἰς τὰ τοιαῦτα ἐγένετο] bene meritus est de exercitu in eiusmodi rebus. De ἄξιον εἶναί (γίγνεσθαί) τινι v. nos ad Commentar. I, 1, 1.

Cap. II. §. 1. οἱ δέ] Xenophon et Cherisophus.

τοὺς μέν] Aristonymum, Agasiam et Aristeam cum militibus suis.

ἄνω ὄντας] postquam

τῇ σάλπιγγι σημαίνειν· καὶ τοὺς μὲν ἄνω ὄντας ἰέναι ἐπὶ τοὺς κατέχοντας τὴν φανερὰν ἔκβασιν, αὐτοὶ δὲ συμβοηθήσειν ἐκβαίνοντες ὡς ἂν δύνωνται τάχιστα. Ταῦτα 2
συνθέμενοι οἱ μὲν ἐπορεύοντο πλῆθος ὡς δισχίλιοι· καὶ ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ· Ξενοφῶν δὲ ἔχων τοὺς ὀπισθοφύλακας ἡγεῖτο πρὸς τὴν φανερὰν ἔκβασιν, ὅπως ταύτῃ τῇ ὁδῷ οἱ πολέμιοι προσέχοιεν τὸν νοῦν καὶ ὡς μάλιστα λάθοιεν οἱ περιιόντες. Ἐπεὶ δὲ ἦσαν ἐπὶ χαράδρᾳ 3
οἱ ὀπισθοφύλακες, ἣν ἔδει διαβάντας πρὸς τὸ ὄρθιον ἐκβαίνειν, τηνικαῦτα ἐκυλίνδουν οἱ βάρβαροι ὁλοιτρόχους ἁμαξιαίους καὶ μείζους καὶ ἐλάττους, οἳ φερόμενοι πρὸς τὰς πέτρας πταίοντες διεσφενδονῶντο· καὶ παντάπασιν οὐδὲ πελάσαι οἷόν τ' ἦν τῇ εἰσόδῳ. Ἔνιοι δὲ τῶν 4
λοχαγῶν, εἰ μὴ ταύτῃ δύναιντο, ἄλλῃ ἐπειρῶντο· καὶ ταῦτα ἐποίουν, μέχρι σκότος ἐγένετο· ἐπεὶ δὲ ᾤοντο ἀφανεῖς εἶναι ἀπιόντες, τότε ἀπῆλθον ἐπὶ τὸ δεῖπνον· ἐτύγ-

θήσειν ἐκβ.] v. adn. — §. 2. περιιόντες] sic Q; περιιδόντες ABD; παριόντες reliqui. — §. 3. ἐπὶ χαράδρᾳ οἱ] sic coni. Schaefer. Melet. p. 164.: quae coniectura confirmatur codicibus BFG, qui habent ἐπὶ χαράδρα οἱ; ἐπιχαραδραῖοι AD; reliqui ἐπὶ χαράδραν οἱ, quod non absonum est. V. nos in Gr. T. II. §. 622. b. — ἐλάττους] sic ABDE; reliqui ἐλάττους λίθους. — πταίοντες] sic Schneider., codd. παίοντες; πρὸς τὰς πέτρας παίοντες AB pro vulg. πταίοντες πρὸς τ. π. —

montis cacumen adscenderint.

ἔκβασιν] V. cap. 1, 20.

συμβοηθήσειν ἐκβαίνοντες] Sic legendum acute coniecit Muretus, nisi quod αὐτοὺς — ἐκβαίνοντας scribendum censuit; at nominativus grammatica ratione munitus est, v. nos in Gr. T. II. §. 645, 3. (Gr. schol. §. 307. not. 4.) Cf. infra IV, 4, 6. Schwidop. progr. l. d. p. 5. sq. Codicum scriptura corruptissima est: συμβουλῆς ἕνεκεν βαίνοντες ABDI (nisi quod B βαίνοντας habet); συμβουληθεῖσιν βαίνοντες E; συμβουληθεῖσιν ἐκβαίνοντες reliqui. Futurum συμβοηθήσειν post praesentia positum est, quia e v. συντίθενται (constituunt) notio promittendi elici potest.

§. 2. Ταῦτα] De asyndeto v. ad I, 1, 9.

πλῆθος] Iniuria Muretus articulum τό desideravit. Comparant interpretes I, 4, 4. ποταμὸς Κάρσος ὄνομα, εὖρος πλέθρον. Commentar. I, 4, 8. πλῆθος ἄπειρα. Adde Sturz. L. X. h. v.

§. 3. πρὸς τὸ ὄρθιον ἐκβαίνειν] „per locum arduum, acclivem niti." STURZ. L. X. T. III. p. 319. Cf. IV, 6, 12. ὄρθιον — ἰέναι. — Vocabulum ὁλοίτροχος est Homericum. V. Heiland. de dial. X. p. 16.

οἳ — διεσφενδονῶντο] qui praecipitati ad saxa allisi dissiliebant.

§. 4. εἰ — δύναιντο] De optativo iterativo v. ad I, 2, 7.

χανον δὲ καὶ ἀνάριστοι ὄντες αὐτῶν οἱ ὀπισθοφυλακή-
σαντες. Οἱ μέντοι πολέμιοι, φοβούμενοι δῆλον ὅτι, οὐ-
δὲν ἐπαύσαντο δι᾽ ὅλης τῆς νυκτὸς κυλινδοῦντες τοὺς
5 λίθους· τεκμαίρεσθαι δ᾽ ἦν τῷ ψόφῳ. Οἱ δὲ ἔχοντες τὸν
ἡγεμόνα κύκλῳ περιιόντες καταλαμβάνουσι τοὺς φύλα-
κας ἀμφὶ πῦρ καθημένους· καὶ τοὺς μὲν κατακανόντες,
τοὺς δὲ καταδιώξαντες αὐτοὶ ἐνταῦθ᾽ ἔμενον ὡς τὸ ἄκρον
6 κατέχοντες. Οἱ δ᾽ οὐ κατεῖχον, ἀλλὰ μαστὸς ἦν ὑπὲρ
αὐτῶν, παρ᾽ ὃν ἦν ἡ στενὴ αὕτη ὁδός, ἐφ᾽ ᾗ ἐκάθηντο
οἱ φύλακες. Ἔφοδος μέντοι αὐτόθεν ἐπὶ τοὺς πολεμίους
7 ἦν, οἳ ἐπὶ τῇ φανερᾷ ὁδῷ ἐκάθηντο. Καὶ τὴν μὲν νύκτα
ἐνταῦθα διήγαγον· ἐπεὶ δ᾽ ἡμέρα ὑπέφαινεν, ἐπορεύοντο
σιγῇ συντεταγμένοι ἐπὶ τοὺς πολεμίους· καὶ γὰρ ὁμίχλη
ἐγένετο, ὥςτε ἔλαθον ἐγγὺς προςελθόντες. Ἐπεὶ δὲ εἶδον
ἀλλήλους, ἥ τε σάλπιγξ ἐπεφθέγξατο καὶ ἀλαλάξαντες
ἵεντο εἰς τοὺς ἀνθρώπους· οἱ δὲ οὐκ ἐδέξαντο, ἀλλὰ λι-
πόντες τὴν ὁδὸν φεύγοντες ὀλίγοι ἀπέθνησκον· εὔζωνοι
8 γὰρ ἦσαν. Οἱ δὲ ἀμφὶ Χειρίσοφον ἀκούσαντες τῆς σάλ-

§. 4. φοβούμενοι δῆλον ὅτι] sic ABDE; reliqui om. haec verba; ac sane verba δῆλον ὅτι facile videri possunt arguere glossatoris manum; cf. V, 7, 26. — οὐδὲν ἐπαύσαντο] v. adn. — δι᾽ ὅλης] sic ABD; ὅλης reliqui. — τεκμαίρεσθαι] sic AB pro τεκμήρασθαι. — §. 5. κατακανόντες] v. adn. — τὸ ἄκρον κατέχοντες] sic AB pro κατέχ. τὸ ἄκρ. — §. 7. ἐπεφθέγξα-

οὐδὲν ἐπαύσαντο] Sic recte legitur in ABE; sententia enim huius loci est haec: nullo modo desierunt lapides devolvere; de οὐδέν v. ad VI, 6, 12.; cf. ad VII, 6, 9. D habet οὐδ᾽ ἐπαύσαντο, ne desierunt quidem, quod h. l. ineptum est; reliqui οὐδ᾽ ἀνεπαύσαντο, h. e. ne quieti quidem se dederunt; quae scriptura si recipitur, post ἀνεπαύσαντο comma ponendum est, ne quis hoc verbum desinendi notione accipiat et cum sequenti participio κυλινδοῦντες iungendum credat. Nam ἀναπαύεσθαι nunquam hanc significationem et structuram admittere demonstrare studet ad h. l. Lud. Dindorfius, qui infra V, 6, 31. invitis codd. omnibus ἀναπαύεσθαι edidit.

τοὺς λίθους] Articulus respicit antecedentia (§. 3.) ὁλοιτρόχους ἅμαξ.

§. 5. Οἱ δὲ ἔχοντες τὸν ἡγεμόνα] V. §. 1.

κατακανόντες] Sic L. Dindorfius e coniectura scripsit, ad quam ductus est scriptura codicum ABDE et Suidae, qui κατακαίνοντες habent; in reliquis codd. legitur ἀποκτείναντες, quod interpretamentum luculente demonstrat a Xenophonte scriptum fuisse aoristum, non praesens. Recte enim docet Dindorfius librarios aorista κατακανεῖν, κατακανών etc. in praesentia κατακαίνειν, κατακαίνων depravare

πιγγος εὐθὺς ἵεντο ἄνω κατὰ τὴν φανερὰν ὁδόν· ἄλλοι δὲ τῶν στρατηγῶν κατὰ ἀτριβεῖς ὁδοὺς ἐπορεύοντο, ᾗ ἔτυχον ἕκαστοι ὄντες, καὶ ἀναβάντες, ὡς ἐδύναντο, ἀνίμων ἀλλήλους τοῖς δόρασι. Καὶ οὗτοι πρῶτοι συνέμιξαν 9
τοῖς προκαταλαβοῦσι τὸ χωρίον. Ξενοφῶν δὲ ἔχων τῶν ὀπισθοφυλάκων τοὺς ἡμίσεις ἐπορεύετο, ᾗπερ οἱ τὸν ἡγεμόνα ἔχοντες· εὐοδωτάτη γὰρ ἦν τοῖς ὑποζυγίοις· τοὺς δὲ ἡμίσεις ὄπισθεν τῶν ὑποζυγίων ἔταξε. Πορευό- 10
μενοι δ' ἐντυγχάνουσι λόφῳ ὑπὲρ τῆς ὁδοῦ κατειλημμένῳ ὑπὸ τῶν πολεμίων, οὓς ἢ ἀποκόψαι ἦν ἀνάγκη, ἢ διεζεῦχθαι ἀπὸ τῶν ἄλλων Ἑλλήνων. Καὶ αὐτοὶ μὲν ἂν ἐπορεύθησαν, ᾗπερ οἱ ἄλλοι, τὰ δὲ ὑποζύγια οὐκ ἦν ἄλλῃ ἢ ταύτῃ ἐκβῆναι. Ἔνθα δὴ παρακελευσάμενοι ἀλ- 11
λήλοις προςβάλλουσι πρὸς τὸν λόφον ὀρθίοις τοῖς λόχοις, οὐ κύκλῳ, ἀλλὰ καταλιπόντες ἄφοδον τοῖς πολεμίοις, εἰ βούλοιντο φεύγειν. Καὶ τέως μὲν αὐτοὺς ἀνα- 12
βαίνοντας, ὅπη ἐδύναντο ἕκαστος, οἱ βάρβαροι ἐτόξευον καὶ ἔβαλλον, ἐγγὺς δ' οὐ προςίεντο, ἀλλὰ φυγῇ λείπουσι

το] sic ABE pro vulg. ἐφθέγξατο. — **ἀλαλάξαντες**] post h. v. vulgo leguntur verba οἱ Ἕλληνες, quae cum ABE omisi. — §. 8. **ἀνίμων**] ABD et Suidas ἀνείμων: quae forma etiam de re equ. VII, 2. legitur. — §. 9. **οὗτοι πρῶτοι**] sic ABE; reliqui οὗτοι μόνοι πρῶτοι; in μόνοι Porsonus μέν latere ratus coni. οὕτω μὲν οἱ πρῶτοι.

solere, uti Cyrop. IV, 3, 5. 4, 6. V, 4, 21. De h. v. cf. nos ad I, 6, 2. 9, 6.

τὸ ἄκρον] V. IV, 1, 25.

§. 6. **Οἱ δ' οὐ κατεῖχον**] eidem vero. Οἱ δέ ad idem subiectum referendum est, quod proxime praecedit. V. nos in Gr. T. II. §. 629. not. 2.

ἡ στενὴ αὕτη ὁδός] De hac pronominis αὕτη collocatione v. nos in Gr. T. II. §. 488. not. (Gr. schol. §. 246. not. 2.)

§. 7. **ὑπέφαινεν**] illuxit. V. ad III, 2, 1.

ἵεντο] V. ad I, 5, 8.

§. 9. **τῶν ὀπισθοφυλάκων τοὺς ἡμίσεις**] pro τ. ὀπ. τὸ ἥμισυ. V. nos in Gr. T. II. §. 479. c. (Gr. schol. §. 264, 2. c.)

εὐοδωτάτη] Scil. ὁδός, quod omissum est, quia praecedit ᾗπερ, scil. ὁδῷ.

§. 10. **αὐτοὶ μὲν ἂν ἐπορεύθησαν**] ipsi quidem profecti essent eadem via, qua ceteri, sed non licebat etc.

§. 11. **ὀρθίοις τοῖς λόχοις**] (*in Reihen von* 100 *Mann*) „singulis lochis una serie procedentibus, ita ut profunditas lochi esset tanta, quantus erat numerus militum, quibus lochus quisque constabat (i. e. centenis)." STURZ. L. Xen. T. III. p. 320. Cf. infra IV, 3, 17. 8, 10—15. V, 4, 22. Sic infra IV, 8, 13. λόχον ὄρθιον προςιόντα, ubi v. adnotata.

§. 12. **ἐδύναντο ἕκαστος**]

τὸ χωρίον. Καὶ τοῦτόν τε παρεληλύθεσαν οἱ Ἕλληνες, καὶ ἕτερον ὁρῶσιν ἔμπροσθεν λόφον κατεχόμενον ἐπὶ
13 τοῦτον αὖθις ἐδόκει πορεύεσθαι. Ἐννοήσας δ' ὁ Ξενοφῶν, μή, εἰ ἔρημον καταλείποι τὸν ἡλωκότα λόφον, καὶ πάλιν λαβόντες οἱ πολέμιοι ἐπιθοῖντο τοῖς ὑποζυγίοις παριοῦσιν, ἐπὶ πολὺ δὲ ἦν τὰ ὑποζύγια, ἅτε διὰ στενῆς τῆς ὁδοῦ πορευόμενα, καταλείπει ἐπὶ τοῦ λόφου λοχαγοὺς Κηφισόδωρον Κηφισοφῶντος Ἀθηναῖον, καὶ Ἀμφικράτην Ἀμφιδήμου Ἀθηναῖον, καὶ Ἀρχαγόραν Ἀργεῖον φυγάδα, αὐτὸς δὲ σὺν τοῖς λοιποῖς ἐπορεύετο ἐπὶ τὸν δεύτερον λόφον καὶ τῷ αὐτῷ τρόπῳ καὶ τοῦτον αἱροῦ-
14 σιν. Ἔτι δ' αὐτοῖς τρίτος μαστὸς λοιπὸς ἦν πολὺ ὀρθιώτατος, ὁ ὑπὲρ τῆς ἐπὶ τῷ πυρὶ καταληφθείσης φυλακῆς
15 τῆς νυκτὸς ὑπὸ τῶν ἐθελοντῶν. Ἐπεὶ δ' ἐγγὺς ἐγένοντο οἱ Ἕλληνες, λείπουσιν οἱ βάρβαροι ἀμαχητὶ τὸν μαστόν, ὥςτε θαυμαστὸν πᾶσι γενέσθαι, καὶ ὑπώπτευον δείσαν-

§. 12. παρεληλύθεσαν] v. adn. — ὁρῶσιν] EFGH KL et Aldina habent ὁρῶντες, quod a grammatica ratione minime abhorret. V. nos in Gr. T. II. §. 677. — §. 13. καταλείποι] B καταλίπῃ, unde Born. καταλίποι; καταλείπῃ A; λείπει E. — §. 14. ἐθελοντῶν] sic Brodaeus; ἐθελόντων ADEFG HIKL; ἐλθόντων B; vulgo προελθόντων. — §. 15. ἀμαχητί] V. ad I, 7, 15. διαλείπουσι δ' ἑκάστη.

παρεληλύθεσαν] Sic A; παρεληλύθησαν BL; παρεληλύθισαν I e correct.; vulgo παρεληλύθεισαν: quae forma neque apud Xenophontem, neque apud alios huius aetatis scriptores usitata fuit. Supra III, 5, 18. ἐδεδοίκεσαν ex AB pro — εισαν restitutum est. Infra VI, 5, 31. ᾔδεσαν optimi et plurimi codd. habent. De τὲ — καί v. ad II, 1, 7.

§. 13. Ἐννοήσας — μή] V. ad III, 5, 3.

καὶ πάλιν] Schneiderus καί omissum mavult; sed Bornemannus recte interpretatur *sogar noch einmal*.

ἐπὶ πολὺ δὲ ἦν] in longum spatium porrecta erant.

ἅτε — πορευόμενα] Uti ὡς participiis additum significat rem cogitatam, ex alius mente prolatam (*subjektiv*, v. ad I, 1, 3. 6. 10.), sic ἅτε rem veram, in facto positam (*objektiv*). V. Rost. Gr. schol. §. 182, 5. adn. 9. Kühner. Gr. schol. §. 312. not. 13. Cf. infra IV, 8, 27. V, 2, 1. VI, 3, 3. 5, 28. Respondet fere Latino quippe, i. e. significat rem, quae per sese patet.

§. 15. ὥςτε θαυμαστὸν πᾶσι γενέσθαι, καὶ ὑπώπτευον] Ab obliqua oratione deflexum est ad rectam, uti infra IV, 7, 17: ὥςτε μηδὲν λαμβάνειν αὐτόθεν τοὺς Ἕλληνας, ἀλλὰ διετράφησαν τοῖς κτήνεσιν, ἃ — ἔλαβον.

Οἱ δ' ἄρα] οἱ βάρβαροι. Ἄρα particula h. l. non, uti vulgo, concludit aliquid ex eis, quae antecesserunt, sed ex eis, quae sequuntur. Infra VII, 4, 13: οἱ δ' ἄρα ταῦτ' ἔλεγον κατασκοπῆς

τας αὐτούς, μὴ κυκλωθέντες πολιορκοῖντο, ἀπολιπεῖν. Οἱ δ' ἄρα ἀπὸ τοῦ ἄκρου καθορῶντες τὰ ὄπισθεν γιγνόμενα πάντες ἐπὶ τοὺς ὀπισθοφύλακας ἐχώρουν. Καὶ Ξε- 16
νοφῶν μὲν σὺν τοῖς νεωτάτοις ἀνέβαινεν ἐπὶ τὸ ἄκρον, τοὺς δὲ ἄλλους ἐκέλευσεν ὑπάγειν, ὅπως οἱ τελευταῖοι λόχοι προσμίξειαν· καὶ προελθόντας κατὰ τὴν ὁδὸν ἐν τῷ ὁμαλῷ θέσθαι τὰ ὅπλα εἶπε. Καὶ ἐν τούτῳ τῷ χρόνῳ 17
ἦλθεν Ἀρχαγόρας ὁ Ἀργεῖος πεφευγὼς καὶ λέγει, ὡς ἀπεκόπησαν ἀπὸ τοῦ πρώτου λόφου καὶ ὅτι τεθνᾶσι Κηφισόδωρος καὶ Ἀμφικράτης καὶ ἄλλοι, ὅσοι μὴ ἁλόμενοι κατὰ τῆς πέτρας πρὸς τοὺς ὀπισθοφύλακας ἀφίκοντο. Ταῦτα δὲ διαπραξάμενοι οἱ βάρβαροι ἧκον ἐπ' 18
ἀντίπορον λόφον τῷ μαστῷ· καὶ Ξενοφῶν διελέγετο αὐτοῖς δι' ἑρμηνέως περὶ σπονδῶν καὶ τοὺς νεκροὺς ἀπῄτει. Οἱ δὲ ἔφασαν ἀποδώσειν, ἐφ' ᾧ μὴ καίειν τὰς κώμας. 19
Συνωμολόγει ταῦτα ὁ Ξενοφῶν. Ἐν ᾧ δὲ τὸ μὲν ἄλλο

B ἀμαχητεί; male, v. nos in Gr. T. I. §. 363. α. — πᾶσι γενέσθαι] sic A B pro γ. π. — ἀπολιπεῖν] sic A B D pro ἀπολείπειν. — §. 16. προελθόντας] προελθόντες E; προσελθόντας reliqui. — §. 17. ἁλόμενοι] v. adn. — §. 18. καὶ Ξενοφῶν] A E καὶ ὁ Ξ., ut videtur, ob §. 19.

ἕνεκα, uti postea apparebat. Oecon. VI, 16: ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως, *aber diefs war, wie es sich zeigte, nicht so.* V. Breitenbachium ad l. d.

§. 16. ὑπάγειν] V. ad III, 4, 48.

προελθόντας — θέσθαι τὰ ὅπλα εἶπε] praegressos — subsistere iussit. De locutione θέσθαι τὰ ὅπλα v. ad I, 5, 14.

§. 17. ἀπεκόπησαν] Scil. οἱ Ἕλληνες.

ἁλόμενοι] Hanc unius quidem, sed praestantissimi codicis A scripturam praeferendam duxi reliquorum codicum ἀλλόμενοι. Aoristus huius loci sententiae multo aptior est, quam praesens. Forma aoristi secundi rara illa quidem est apud Xenophontem, sed nullo modo plane ei abiudicanda. Cf. nos ad Commentar. I, 3, 9. Sed infra VI, 1, 5. ἥλοντο maxime dubium est.

§. 18. ἐπ' ἀντίπορον λόφον τῷ μαστῷ] Observanda est verborum traiectio (hyperbaton) pro ἐπ' ἀντίπορον τῷ μαστῷ λόφον. Cuius generis exempla vel apud diligentissimos scriptores non sunt rara. Infra IV, 3, 23. κατὰ τὰς προσηκούσας ὄχθας ἐπὶ τὸν ποταμόν pro κατὰ τὰς ἐπὶ τὸν ποταμὸν προσηκούσας ὄχθας. VI, 6, 19. ὁ ἀφαιρεθεὶς ἀνὴρ ὑπὸ Ἀγασίου. VII, 7, 32. οἱ νῦν ὑπὸ σοὶ Θρᾷκες γενόμενοι.

§. 19. ἐφ' ᾧ μὴ καίειν] ea conditione, ut ne comburerent vicos. V. Buttm. §. 150, 9. Rost. §. 185. add. 1. Kühner. T. II. §. 828, 2. (Gr. schol. §. 341. not. 5.) Cf. infra IV, 4, 6. VI, 6, 22.

στράτευμα παρήει, οἱ δὲ ταῦτα διελέγοντο, πάντες οἱ ἐκ τούτου τοῦ τόπου συνεῤῥύησαν. Ἐνταῦθα ἵσταντο οἱ
20 πολέμιοι· καὶ ἐπεὶ ἤρξαντο καταβαίνειν ἀπὸ τοῦ μαστοῦ πρὸς τοὺς ἄλλους, ἔνθα τὰ ὅπλα ἔκειντο, ἵεντο δὴ οἱ πολέμιοι πολλῷ πλήθει καὶ θορύβῳ· καὶ ἐπεὶ ἐγένοντο ἐπὶ τῆς κορυφῆς τοῦ μαστοῦ, ἀφ᾽ οὗ Ξενοφῶν κατέβαινεν, ἐκυλίνδουν πέτρας· καὶ ἑνὸς μὲν κατέαξαν τὸ σκέλος, Ξενοφῶντα δὲ ὁ ὑπασπιστὴς ἔχων τὴν ἀσπίδα ἀπέλιπεν·
21 Εὐρύλοχος δὲ Λουσιεὺς Ἀρκὰς προσέδραμεν αὐτῷ ὁπλίτης καὶ πρὸ ἀμφοῖν προβεβλημένος ἀπεχώρει, καὶ οἱ ἄλλοι πρὸς τοὺς συντεταγμένους ἀπῆλθον.
22 Ἐκ δὲ τούτου πᾶν ὁμοῦ ἐγένετο τὸ Ἑλληνικόν, καὶ ἐσκήνησαν αὐτοῦ ἐν πολλαῖς καὶ καλαῖς οἰκίαις καὶ ἐπι-

§. 19. *πάντες οἱ*] Muret. *πάντες, οἳ — συνεῤῥύησαν, ἐνταῦθα*: quod recte improbavit Krügerus de auth. p. 63., qui, confluendi, inquit, non consistendi notionem primariam esse manifestum est. Deinde ex hac distinctione *οἱ πολέμιοι* ineptissimo loco collocatum esse iam sensit Muretus. — §. 21. *προβεβλημένος*] *βεβλημένος* ABDE. — §. 22. *οἰκίαις*] accessit

πάντες οἱ ἐκ τούτου τοῦ τόπου συνεῤῥύησαν] Praegnanti structura dictum pro *πάντες οἱ ἐν τούτῳ τῷ τόπῳ ὄντες ἐκ τούτου συνεῤῥύησαν*. V. ad I, 1, 5. *τῶν παρὰ βασιλέως*, et Rost. Gr. schol. §. 163, 6. c. cc. p. 431.

Ἐνταῦθα] De asyndeto v. ad I, 1, 9.

§. 20. *ἤρξαντο*] Scil. *οἱ Ἕλληνες*. V. ad I, 4, 5. *φυλάττοιεν*.

τὰ ὅπλα ἔκειντο] V. ad I, 2, 23.

ἵεντο δή] V. ad I, 8, 8.

ἀπέλιπεν] Schneiderus interpretatur non consecutus erat propter celeritatem itineris, Bornemannus comparato Cyrop. VIII, 3, 25. post se reliquit. Krügerus: „Videtur de periculo securus in aliam agminis partem se contulisse, nisi forte metu et ignavia hominem fugisse statuendum est.”

§. 21. *Λουσιεύς*] Stephanus Byz.: *Λουσοί, πόλις Ἀρκαδίας*.

πρὸ ἀμφοῖν προβεβλημένος] Scil. *τὴν ἀσπίδα*. „Obiecto clypeo ambos protegens” vertit Sturzius L. Xen. T. III. p. 663.

πρὸς τοὺς συντεταγμένους] V. §. 16.

§. 22. *ἐγένετο — καὶ ἐσκήνησαν*] V. ad I, 7, 17.

ἐν πολλαῖς καὶ καλαῖς οἰκίαις] vicorum, qui in hac regione erant (§. 19.).

ὃν ἐν λάκκοις κονιατοῖς εἶχον] quod (vinum) in lacunis gypsatis habebant. „Scholiastes ad Aristoph. Ἐκκλ. 154: *Ἀθηναῖοι καὶ οἱ ἄλλοι τῶν Ἑλλήνων ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες εὐρύχωρα καὶ στρογγύλα καὶ τετράγωνα καὶ ταῦτα κονιῶντες οἶνον ὑπεδέχοντο καὶ ἔλαιον εἰς αὐτά, καὶ ταῦτα λάκκους ἐκάλουν*. Ita Suid. et Phavor. Lex. Gr.-Lat. vet. *Λάκκος*, lacuna, lacus, cisterna.” HUTCH.

§. 23. *διεπράξαντο, ὥστε — ἀπέδοσαν*] Sic leguntoptimi codices ABDE; reliqui *ἀπο-*

τηδείοις δαψιλέσι· καὶ γὰρ οἶνος πολὺς ἦν, ὃν ἐν λάκ-
κοις κονιατοῖς εἶχον. Ξενοφῶν δὲ καὶ Χειρίσοφος διε- 23
πράξαντο, ὥστε λαβόντες τοὺς νεκροὺς ἀπέδοσαν τὸν ἡγε-
μόνα· καὶ πάντα ἐποίησαν τοῖς ἀποθανοῦσιν ἐκ τῶν δυ-
νατῶν, ὥσπερ νομίζεται ἀνδράσιν ἀγαθοῖς. Τῇ δὲ ὑστε- 24
ραίᾳ ἄνευ ἡγεμόνος ἐπορεύοντο· μαχόμενοι δ' οἱ πολέ-
μιοι καί, ὅπῃ εἴη στενὸν χωρίον, προκαταλαμβάνοντες
ἐκώλυον τὰς παρόδους. Ὁπότε μὲν οὖν τοὺς πρώτους 25
κωλύοιεν, Ξενοφῶν ὄπισθεν ἐκβαίνων πρὸς τὰ ὄρη ἔλυε
τὴν ἀπόφραξιν τῆς ὁδοῦ τοῖς πρώτοις ἀνωτέρω πειρώ-
μενος γίγνεσθαι τῶν κωλυόντων· ὁπότε δὲ τοῖς ὄπισθεν 26
ἐπιθοῖντο, Χειρίσοφος ἐκβαίνων καὶ πειρώμενος ἀνω-
τέρω γίγνεσθαι τῶν κωλυόντων ἔλυε τὴν ἀπόφραξιν τῆς

ex A B D E Q; I *οἰκίαις* supra versum scriptum habet; *ἐν πολλαῖς κώμαις καὶ καλαῖς οἰκίαις* A; *ἐν κώμαις πολλαῖς καὶ καλαῖς* omisso *οἰκίαις*: unde Born. coni. *ἐν κώμαις πολλαῖς καὶ καλαῖς οἰκίαις*. — *ὃν ἐν λάκκοις*] sic Suidas Vol. II. p. 290. Codd. omnes *ὥστε ἐν λάκκοις* miro errore. — §. 23. *ἀπέδοσαν*] v. adn.

δοῦναι, quod praeter Dindorfium ceteri recentiores editores receperunt. Si verbum *διεπράξαντο* efficiendi vim habet, infinitivus post *ὥστε* necessarius est. At *διαπράττεσθαι* h. l. absolute accipiendum est, ut significet agere, transigere cum aliquo, et *ὥστε — ἀπέδοσαν* non conditionem, qua transactum est, notant, sed id, quod inde consecutum est. Verte igitur: Xenophon et Cherisophus cum hostibus transegerunt; unde secutum est, ut — rederent ducem. De verbo *διαπράττεσθαι* absolute posito cf. infra VII, 2, 7. 4, 12: *περὶ σπονδῶν καὶ ὁμήρων διεπράττοντο*. Adde Sturz. L. Xen. T. II. p. 699 sq.

τὸν ἡγεμόνα] Est idem, qui supra IV, 1, 24. et 2, 1. commemoratus est.

πάντα ἐποίησαν τοῖς ἀποθανοῦσιν] Ne accusativos *τοὺς ἀποθανόντας* exspectes, monendum est hos dativos esse commodi, qui appellantur. Verte igitur: omnem mortuis praestiterunt honorem. Cyrop. VII, 2, 27: *ἢν ταῦτά μοι ποιήσῃς, ἃ λέγεις*. Commentar. II, 3, 13. Cf. nos in Gramm. T. II. §. 559. not.

ὥσπερ νομίζεται ἀνδράσιν ἀγαθοῖς] Scil. *ποιεῖν*, quod ex antecedenti *ἐποίησαν* supplendum est.

§. 24. *ὅπῃ εἴη*] De hoc optativo et seqq. *ὁπότε κωλύοιεν — ἐπιθοῖντο* §. 25., *ὁπότε τοξεύοιεν* et *ἐπεὶ λάβοιεν* §. 28. v. ad I, 2, 7.

§. 25. *τὴν ἀπόφραξιν τῆς ὁδοῦ*] Revocavi hanc optimorum librorum A B E N scripturam pro vulg. *τ. ἀπ. τῆς παρόδου*, quae sine dubio e seq. paragrapho nata est. *Ὁδός* est vocabulum generalius, quod complectitur etiam notionem vocabuli *παρόδου*. Quare nullam video caussam, cur respuatur scriptura *ὁδοῦ*.

τῶν κωλυόντων] H. e. *οἳ οἱ κωλύοντες ἦσαν*. V. ad I, 9, 16.

παρόδου τοῖς ὄπισθεν, καὶ ἀεὶ οὕτως ἐβοήθουν ἀλλή-
27 λοις καὶ ἰσχυρῶς ἀλλήλων ἐπεμέλοντο. Ἦν δὲ καὶ ὁπότε αὐτοῖς τοῖς ἀναβᾶσι πολλὰ πράγματα παρεῖχον οἱ βάρβαροι πάλιν καταβαίνουσιν· ἐλαφροὶ γὰρ ἦσαν, ὥστε καὶ ἐγγύθεν φεύγοντες ἀποφεύγειν· οὐδὲν γὰρ εἶχον ἄλλο ἢ
28 τόξα καὶ σφενδόνας. Ἄριστοι δὲ καὶ τοξόται ἦσαν· εἶχον δὲ τόξα ἐγγὺς τριπήχη, τὰ δὲ τοξεύματα πλέον ἢ διπήχη· εἷλκον δὲ τὰς νευρὰς, ὁπότε τοξεύοιεν, πρὸς τὸ κάτω τοῦ τόξου τῷ ἀριστερῷ ποδὶ προσβαίνοντες. Τὰ δὲ τοξεύματα ἐχώρει διὰ τῶν ἀσπίδων καὶ διὰ τῶν θωράκων. Ἐχρῶντο δὲ αὐτοῖς οἱ Ἕλληνες, ἐπεὶ λάβοιεν, ἀκοντίοις, ἐναγκυλῶντες. Ἐν τούτοις τοῖς χωρίοις οἱ Κρῆτες χρησιμώτατοι ἐγένοντο. Ἦρχε δὲ αὐτῶν Στρατοκλῆς Κρής.

1 III. Ταύτην δ᾽ αὖ τὴν ἡμέραν ηὐλίσθησαν ἐν ταῖς κώμαις ταῖς ὑπὲρ τοῦ πεδίου τοῦ παρὰ τὸν Κεντρίτην ποταμόν, εὖρος ὡς δίπλεθρον, ὃς ὁρίζει τὴν Ἀρμενίαν

§. 26. ἐπεμέλοντο] v. adn. — §. 27. καὶ ὁπότε] sic AB pro ὁπότε καί. — εἶχον ἄλλο] sic AB pro ἄλλο εἶχον. — §. 28. Ἄριστοι δὲ καί] sic AB; reliqui om. καί. — προσβαίνοντες] v. adn. — ἐγένοντο] ἐγίνοντο AG. Vid. ad II, 2, 3. in var. scr.

§. 26. ἐπεμέλοντο] Sic optimi codices ABD pro vulg. ἐπεμελοῦντο. Illa forma rarior quidem est apud Xenophontem, sed satis multis locis a critica ratione firmissime stat. Cf. infra V, 7, 10. ἐπιμελόμενον. Fusius de utraque forma egi ad Commentar. I, 2, 22.

§. 27. Ἦν — ὁπότε] erat, quando, i. e. nonnunquam. V. ad II, 6, 9.

§. 28. τριπήχη — διπήχη] Diodor. IV, 27: τὰ γὰρ βέλη (τῶν Καρδούχων) μείζω καθεστῶτα δυοῖν πηχῶν ἔδυνε διά τε τῶν ἀσπίδων καὶ θωράκων, ὥστε μηδὲν τῶν ὅπλων ἰσχύειν τὴν βίαν αὐτῶν ὑπομένειν· οὕτω γάρ φασι μεγάλοις κεχρῆσθαι οἰστοῖς, ὥστε τοὺς Ἕλληνας ἐναγκυλοῦντας τὰ ῥιπτόμενα βέλη τούτοις σαυνίοις χρωμένους ἐξακοντίζειν. Ceterum formae διπήχη, τριπήχη pro διπήχεα notantur ab Atticistis. V. Popponem ad Cyrop. VI, 1, 30.

εἷλκον δὲ τὰς νευρὰς — πρὸς τὸ κάτω κτλ.] E docta Schneideri ad h. l. disputatione haec tantum appono: „Difficultatem omnem facile explicabis, si statuas arcum affixum fuisse fusti canaliculato, qualem medium aevum arcubalistam (*Armbrust*) vocabat. Retinaculum retinet nervum summa cum vi tensum; impulsum vero manu eiaculatur telum canali impositum. Ita apparet, quomodo nervus summa cum vi, pede sinistro arcui imo imposito, adductus retineri potuerit in arcu sublato."

προσβαίνοντες] Sic codicum scripturam προβαίνοντες optime correxit Wesselingius ad Diod. III, 8: οἷς (τόξοις) τοξεύουσι μὲν τῷ ποδὶ προσβαίνοντες. Sic saepe legitur hoc verbum. V. Schneiderum ad h. l.

ἐγένοντο] V. ad I, 7, 4.

Cap. III. §. 1. Κεντρίτην] Hodie *Buhtán - chaï*. Vid.

καὶ τὴν τῶν Καρδούχων χώραν. Καὶ οἱ Ἕλληνες ἐνταῦθα ἀνεπαύσαντο ἄσμενοι ἰδόντες πεδίον· ἀπεῖχε δὲ τῶν ὀρέων ὁ ποταμὸς ὡς ἓξ ἢ ἑπτὰ στάδια τῶν Καρδούχων. Τότε 2
μὲν οὖν ηὐλίσθησαν μάλα ἡδέως καὶ τὰ ἐπιτήδεια ἔχοντες καὶ πολλὰ τῶν παρεληλυθότων πόνων μνημονεύοντες. Ἑπτὰ γὰρ ἡμέρας, ὅσασπερ ἐπορεύθησαν διὰ τῶν Καρδούχων, πάσας μαχόμενοι διετέλεσαν καὶ ἔπαθον κακά, ὅσα οὐδὲ τὰ σύμπαντα ὑπὸ βασιλέως καὶ Τισσαφέρνους. Ὡς οὖν ἀπηλλαγμένοι τούτων ἡδέως ἐκοιμήθησαν.

Ἅμα δὲ τῇ ἡμέρᾳ ὁρῶσιν ἱππεῖς που πέραν τοῦ πο- 3
ταμοῦ ἐξωπλισμένους ὡς κωλύσοντας διαβαίνειν, πεζοὺς δ' ἐπὶ ταῖς ὄχθαις παρατεταγμένους ἄνω τῶν ἱππέων ὡς κωλύσοντας εἰς τὴν Ἀρμενίαν ἐκβαίνειν. Ἦσαν δ' οὗτοι 4
Ὀρόντου καὶ Ἀρτούχου Ἀρμένιοι καὶ Μαρδόνιοι καὶ

Cap. III. §. 2. τὰ ἐπιτήδεια] Dind. c. B τἀπιτήδεια. — §. 3. ἱππεῖς] sic ABC pro ἱππέας. V. ad I, 5, 13. — που] sic ABC; reliqui om. — §. 4. Ὀρόντου] Ὀρόντα A, v. var. script. III, 4, 13. — Μαρδόνιοι] v. adn.

Ainsworth. *Travels in the track of the ten thousand Greeks*, p. 166 sq. et Koch. l. d. p. 78.

ἀπεῖχε] Exspectes ἀπέχει; at v. ad I, 4, 9.

τῶν Καρδούχων] Iunge cum τῶν ὀρέων. De verborum collocatione Bornemannus apte comparat Symp. VIII, 13: τῶν δὲ τοῦ σώματος ἐπιθυμούντων πολλοὶ μὲν τοὺς τρόπους μέμφονται καὶ μισοῦσι τῶν ἐρωμένων, in partes vocato Poppone ad Thuc. Part. I. Vol. I. p. 299. Cf. infra ad V, 6, 35. τῆς μισθοφορίας. Coniectura Schaeferi in Melett. critt. p. 106. τῶν Καρδουχίων non est opus.

§. 2. Ἑπτὰ — ἡμέρας — πάσας μαχόμενοι διετέλεσαν] Quum inde a cap. primo usque ad extremum cap. secundum quinque tantum dies commemorati sint, cum Krügero statuendum videtur, quae Xenophon 2, 24—27. narret, ea etiam ad duos proximos dies pertinere, id quod scriptor negligentia quadam commemorare omiserit. Quod autem Rennellius p. 194. statuit, duos dies quieti et refectioni datos esse, id idem Krügerus nec per se probabile esse (coll. 2, 22. et 24.) iudicat, et adversari verbis ὅσασπερ — πάσας μαχ. διετ.

ὅσα οὐδὲ τὰ σύμπαντα ὑπὸ β. κ. Τ.] Scil. ἔπαθον.

Ὡς — ἀπηλλαγμένοι τούτων] credentes his malis se esse liberatos. V. nos ad I, 1, 10.

§. 4. Ὀρόντου] Armeniae satrapae. V. III, 5, 17. Qui sequitur Ἀρτούχας, alias in his libris non commemoratur. Cyrop. V, 3, 38. Ἀρτούχας Hyrcanorum dux commemoratur.

Μαρδόνιοι] Sic omnes codd. praeter A, qui Καρδούχιοι (v supra), et H, qui Μυγδόνιοι supra versum habet. De Mygdoniis Stephanus By-

Χαλδαῖοι μισθοφόροι. Ἐλέγοντο δὲ οἱ Χαλδαῖοι ἐλεύθεροί τε καὶ ἄλκιμοι εἶναι· ὅπλα δ' εἶχον γέῤῥα μακρὰ
5 *καὶ λόγχας. Αἱ δὲ ὄχθαι αὗται, ἐφ' ὧν παρατεταγμένοι οὗτοι ἦσαν, τρία ἢ τέτταρα πλέθρα ἀπὸ τοῦ ποταμοῦ ἀπεῖχον· ὁδὸς δὲ μία ἡ ὁρωμένη ἦν ἄγουσα ἄνω ὥςπερ χειροποίητος· ταύτην ἐπειρῶντο διαβαίνειν οἱ Ἕλληνες.*
6 *Ἐπεὶ δὲ πειρωμένοις τό τε ὕδωρ ὑπὲρ τῶν μαστῶν ἐφαίνετο, καὶ τραχὺς ἦν ὁ ποταμὸς μεγάλοις λίθοις καὶ ὀλισθηροῖς, καὶ οὔτ' ἐν τῷ ὕδατι τὰ ὅπλα ἦν ἔχειν· εἰ δὲ μή, ἥρπαζεν ὁ ποταμός· ἐπί τε τῆς κεφαλῆς τὰ ὅπλα εἴ τις φέροι, γυμνοὶ ἐγίγνοντο πρὸς τὰ τοξεύματα καὶ τἆλλα βέλη· ἀνεχώρησαν οὖν καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο παρὰ τὸν ποταμόν.*
7 *Ἔνθα δὲ αὐτοὶ τὴν πρόσθεν νύκτα ἦσαν, ἐπὶ τοῦ*

τε] sic A B; reliqui om. — §. 5. *ἢ*] om. A B E I. — *ταύτην*] sic scripsi cum A B D E I (sed hic est correctus) et N pro vulg. *ταύτῃ*. V. §. 20. — §. 6. *τἆλλα*] sic A B pro *τὰ ἄλλα*. — §. 7. *ἐν*] sic A B D I N; abest ab H (sed huic additum est a recentiore

zantinus v. *Μυγδονία* tradit haec: *Μυγδονία, μοῖρα Μακεδονίας· καὶ ἑτέρα Φρυγίας τῆς μεγάλης, ἀπὸ Μύγδονος· τινὲς δὲ Μαρδοὺς αὐτούς φασι.* Ergo Mardi et Mygdonii duo unius gentis nomina fuerunt. Quare Dindorfius aliique scribendum censent *Μάρδοι*, scripturam *Μαρδόνιοι* ex utroque, *Μάρδοι* et *Μυγδόνιοι*, coniuncto ortam esse. Mardonii nusquam commemorantur. V. Schneiderum, qui docte de h. l. disputavit. Cf. Koch. l. d. p. 179 sq.

Χαλδαῖοι] gens Armeniae eadem, quae etiam *Χάλυβες* appellantur. Cf. infra V, 5, 17. et Koch. l. d. p. 196 sq. Locus VII, 8, 25., ubi *Καρδοῦχοι, Χάλυβες, Χαλδαῖοι* seorsum commemorantur, vix dubium est, quin a Xenophonte profectus non sit.

γέῤῥα] V. ad I, 8, 9.

§. 6. *πειρωμένοις*] V. ad III, 5, 7.

καὶ οὔτ' — ἐπί τε κτλ.] et neque in aqua arma tenere licebat; sin autem quis ea tenebat, flumen abripiebat; et super caput arma si quis ferebat, etc. *Καί* coniungit cum antecedentibus duas sequentes enuntiationes per *οὔτε* — et *τέ* inductas, quae in unum quasi orationis membrum coaluerunt. Apte comparat Bornemannus infra VII, 3, 13: *χειμὼν μὲν γὰρ εἴη, καὶ οὔτε οἴκαδε ἀποπλεῖν τῷ τοῦτο βουλομένῳ δυνατὸν εἴη, διαγενέσθαι τε ἐν φιλίᾳ οὐχ οἷόν τε εἴη, εἰ δέοι ὠνουμένους ζῆν.* De *οὔτε — τέ*, neque — et, v. ad II, 2, 8. De *εἰ δὲ μή* post enuntiationem negativam pro *εἰ δέ* positis v. nos in Gramm. T. II. §. 823, 5. (Gr. schol. §. 340, 4.) Cf. infra VII, 1, 8: *Μὴ ποιήσῃς ταῦτα· εἰ δὲ μή, — αἰτίαν ἕξεις.* Adde Breitenbachium ad Oecon. III, 12., qui hunc locum sic reddit: si vero non fiebat, ut quis arma tenere non conaretur (h. e. quum — conaretur), flumen abripiebat.

εἴ τις φέροι] V. ad I, 2, 7. *ὁπότε βούλοιτο*. De sequentibus pluralibus *γυμνοὶ ἐγίγνοντο* post collectivum *τὶς* illatis v. ad I, 4, 8.

ἀνεχώρησαν οὖν] Stephanus omisit *οὖν*, quod in I

ὄρους ἑώρων τοὺς Καρδούχους πολλοὺς συνειλεγμένους ἐν τοῖς ὅπλοις. Ἐνταῦθα δὴ πολλὴ ἀθυμία ἦν τοῖς Ἕλλησιν ὁρῶσι μὲν τοῦ ποταμοῦ τὴν δυςπορίαν, ὁρῶσι δὲ τοὺς διαβαίνειν κωλύσοντας, ὁρῶσι δὲ τοῖς διαβαίνουσιν ἐπικεισομένους τοὺς Καρδούχους ὄπισθεν. Ταύτην μὲν 8
οὖν τὴν ἡμέραν καὶ τὴν νύκτα ἔμειναν ἐν πολλῇ ἀπορίᾳ ὄντες. Ξενοφῶν δὲ ὄναρ εἶδεν· ἔδοξεν ἐν πέδαις δεδέσθαι, αὗται δὲ αὐτῷ αὐτόμαται περιῤῥυῆναι, ὥςτε λυθῆναι καὶ διαβαίνειν ὁπόσον ἐβούλετο. Ἐπεὶ δὲ ὄρθρος ἦν, ἔρχεται πρὸς τὸν Χειρίσοφον καὶ λέγει, ὅτι ἐλπίδας ἔχει καλῶς ἔσεσθαι, καὶ διηγεῖται αὐτῷ τὸ ὄναρ. Ὁ δὲ 9
ἥδετό τε καί, ὡς τάχιστα ἕως ὑπέφαινεν, ἐθύοντο πάντες παρόντες οἱ στρατηγοί· καὶ τὰ ἱερὰ καλὰ ἦν εὐθὺς ἀπὸ τοῦ πρώτου. Καὶ ἀπιόντες ἀπὸ τῶν ἱερῶν οἱ στρα-

manu) KL et Aldina; reliqui σύν, v. adn. Eadem harum praepositionum permutatio V, 3, 3. — δυςπορίαν] δυςπορείαν ABI, male. — §. 8. ἔμειναν] sic ABDI (hic correctus) pro ἔμενον. — αὐτόμαται περιῤῥυῆναι] v. adn. — §. 9. ἀπό] v. adn.

erasum est et in B et D abest. Iniuria; οὖν enim saepissime post interiectiones (παρενθέσεις) additur. V. Popponem ad Cyrop. I, 3, 17. p. 31. Stallbaum. ad Platon. Lysid. p. 223. B. Kühner. Gr. T. II. §. 759, 2.

§. 7. Ἔνθα — ἦσαν] Ubi superiore nocte eraut. E nostra dicendi ratione dicamus: ubi — fuerant, at v. ad I, 1, 6.

ἐν τοῖς ὅπλοις] De hoc ἐν praepositionis usu v. nos in Gr. T. II. §. 600. p. 273. (Gr. schol. §. 289, 1.) et ad Commentar. III, 9, 2. ἐν πέλταις καὶ ἀκοντίοις — ἐν τόξοις — διαγωνίζεσθαι.

ὁρῶσι μὲν — ὁρῶσι δέ] V. ad I, 9, 10. ἔτι μὲν — ἔτι δέ.

§. 8. ἔδοξεν] De asyndeto v. ad III, 1, 11.

ἐν πέδαις δεδέσθαι] Cyrop. V, 1, 12. ἐν σιδήρῳ ἐδέδεντο (ex optimis codd.). Plat. Cratyl. p. 404. A. ἐν τοῖς δεσμοῖς δήσας. V. Popp. ad Cyrop. III, 3, 10. Stallb. ad Platon. Menex. p. 240. C. Kühner. Gramm. T. II. §. 600. (Gr. schol. §. 300, 3. a.)

αὐτόμαται] Sic ABDIK pro αὐτόματοι: quod quum aliorum scriptorum, tum Xenophontis consuetudini adversatur. V. Sturz. L. Xen. T. I. p. 474. Oec. XX, 10. αὐτομάτην.

περιῤῥυῆναι] Haec elegantissima scriptura quum optimorum codicum ABDE auctoritate confirmatur, tum vero verbo αὐτόμαται egregie respondet: vincla sua sponte defluere visa sunt. Multo minus exquisita est reliquorum librorum scriptura περιῤῥαγῆναι.

διαβαίνειν] ingredi [pedem proferre, ausschreiten, die Füſse auseinander setzen. ROST.]

καλῶς ἔσεσθαι] rem bene processuram esse, es werde gut gehen. Infra VII, 3, 43: καλῶς, ὦ ἄνδρες, ἔσται, ἐὰν θεὸς θέλῃ. V. nos in Gr. T. II. §. 416, 3. (Gr. schol. §. 240. not. 2.)

§. 9. ὑπέφαινεν] V. ad III, 2, 1.

ἀπὸ τοῦ πρώτου] Scil. ἱερείου, h. e. sacra statim a prima victima fausta erant. Infra VI, 5, 2:

τηγοὶ καὶ λοχαγοὶ παρήγγελλον τῇ στρατιᾷ ἀριστοποι-
10 εῖσθαι. Καὶ ἀριστῶντι τῷ Ξενοφῶντι προσέτρεχον δύο νεανίσκω· ᾔδεσαν γὰρ πάντες, ὅτι ἐξείη αὐτῷ καὶ ἀριστῶντι καὶ δειπνοῦντι προσελθεῖν καί, εἰ καθεύδοι, ἐπεγείραντα εἰπεῖν, εἴ τίς τι ἔχοι τῶν πρὸς τὸν πόλεμον.
11 Καὶ τότε ἔλεγον, ὅτι τυγχάνοιεν φρύγανα συλλέγοντες ὡς ἐπὶ πῦρ, κἄπειτα κατίδοιεν ἐν τῷ πέραν ἐν πέτραις καθηκούσαις ἐπ' αὐτὸν τὸν ποταμὸν γέροντά τε καὶ γυναῖκας καὶ παιδίσκας ὥςπερ μαρσίπους ἱματίων κατατι-
12 θεμένους ἐν πέτρᾳ ἀντρώδει. Ἰδοῦσι δέ σφισι δόξαι ἀσφαλὲς εἶναι διαβῆναι· οὐδὲ γὰρ τοῖς πολεμίοις ἱππεῦσι προςβατὸν εἶναι κατὰ τοῦτο. Ἐκδύντες δ' ἔφασαν ἔχοντες τὰ ἐγχειρίδια γυμνοὶ ὡς νευσούμενοι διαβαίνειν· πορευόμενοι δὲ πρόσθεν διαβῆναι, πρὶν βρέξαι τὰ αἰδοῖα· καὶ διαβάντες καὶ λαβόντες τὰ ἱμάτια πάλιν ἥκειν.
13 Εὐθὺς οὖν ὁ Ξενοφῶν αὐτός τε ἔσπενδε καὶ τοῖς

παρήγγελλον] παρήγγελον A F G I L, v. var. scr. I, 4, 12. — §. 10. *Καὶ ἀριστῶντι*] sic A B E pro ἀριστῶντι δέ. — *προςέτρεχον*] sic A B C D E N; προτρέχεται L; reliqui προτρέχετον. — *εἴ τίς τι*] sic A B F G H I (sed hic εἴ τίς τις) L et Suid. pro εἴ τί τις. — §. 11. *ἐν πέτραις*] sic A B E et Suid. pro ἐν ταῖς πέτραις. — *γυναῖκας*] sic A B E pro γυναῖκα. — *μαρσίπους*] sic post Ald. Schneid. e Suida et Polluce VII, 79. et X, 138. pro vulg. μαρσίππους. — §. 12. *διαβῆναι*] διαβαίνειν E. — *γυμνοί*] sic A B D E N et Suid. pro γυμνά. — *νευσούμενοι*] sic F G H K L et Ald.; πευσόμενοι A I; reliqui σπευσόμενοι. — *δια-*

καὶ γίγνεται τὰ ἱερὰ ἐπὶ τοῦ πρώτου ἱερείου, et 8: *καὶ ἐγένετο ἐπὶ τοῦ πρώτου καλὰ τὰ σφάγια.* Scilicet duae aut plures victimae ad aram adducebantur, ut, nisi in prima litatum esset, alia adhiberetur, uti recte docuit Zeunius ad VI, 1, 22. Praeter locos allatos cf. VII, 6, 44. Schneiderus, quem Bornemannus, Dindorfius, Krügerus secuti sunt, scripsit h. l. *ἐπὶ τοῦ πρώτου*, nulla plane cogente necessitate, quum utraque scriptura aptam praebeat sententiam.

§. 10. *ἐξείη — ἐπεγείραντα εἰπεῖν*] In participio latet *τινά*, quod eo facilius h. l. omitti potuit, quod sequitur *τὶς*, v. nos ad Commentar. I, 3, 8. Cf. Adnotata in I, 1, 7. VII, 3, 32. De accusativo post *ἐξείη* illato v. nos ad I, 2, 1. *ἥκειν παρήγγειλε λαβόντα.*

§. 11. *Καὶ τότε ἔλεγον*] De *καὶ* explicativo v. ad I, 9, 6. Verte igitur h. l. sic: *So erzählten sie (die beiden jungen Männer) auch damals.* V. nos ad I, 9, 6. Respexit Xenophon ad enuntiationem interiectam: *ᾔδεσαν γὰρ — πρὸς τὸν πόλεμον.* Supersedere igitur possumus coniectura a Weiskio proposita: *καὶ οἵδε οὖν τότε ἔλεγον.*

τυγχάνοιεν — συλλέγοντες] Scil. tum, quum sacra fiebant. V. ad I, 1, 6.

ὡς ἐπὶ πῦρ] ut ad ignem,

νεανίσκοις ἐγχεῖν ἐκέλευε καὶ εὔχεσθαι τοῖς φήνασι θεοῖς
τά τε ὀνείρατα καὶ τὸν πόρον καὶ τὰ λοιπὰ ἀγαθὰ ἐπιτε-
λέσαι. Σπείσας δ' εὐθὺς ἦγε τοὺς νεανίσκους παρὰ τὸν
Χειρίσοφον· καὶ διηγοῦνται ταὐτά. Ἀκούσας δὲ ὁ Χει- 14
ρίσοφος σπονδὰς ἐποίει. Σπείσαντες δὲ τοῖς μὲν ἄλλοις
παρήγγελλον συσκευάζεσθαι, αὐτοὶ δὲ συγκαλέσαντες
τοὺς στρατηγοὺς ἐβουλεύοντο, ὅπως ἂν κάλλιστα δια-
βαῖεν καὶ τούς τε ἔμπροσθεν νικῷεν καὶ ὑπὸ τῶν ὄπι-
σθεν μηδὲν πάσχοιεν κακόν. Καὶ ἔδοξεν αὐτοῖς Χειρί- 15
σοφον μὲν ἡγεῖσθαι καὶ διαβαίνειν ἔχοντα τὸ ἥμισυ τοῦ
στρατεύματος, τὸ δ' ἥμισυ ἔτι ὑπομένειν σὺν Ξενοφῶντι,
τὰ δὲ ὑποζύγια καὶ τὸν ὄχλον ἐν μέσῳ τούτων διαβαί-
νειν. Ἐπεὶ δὲ καλῶς ταῦτα εἶχεν, ἐπορεύοντο, ἡγοῦντο 16
δ' οἱ νεανίσκοι ἐν ἀριστερᾷ ἔχοντες τὸν ποταμόν· ὁδὸς
δὲ ἦν ἐπὶ τὴν διάβασιν ὡς τέτταρες στάδιοι. Πορευομέ- 17
νων δ' αὐτῶν ἀντιπαρῄεσαν αἱ τάξεις τῶν ἱππέων. Ἐπει-

βῆναι] διαβαίνειν E. — §. 13. ἐκέλευε] sic AB pro ἐκέλευσε. — εὐθὺς ἦγε] sic ABEFGHIKL pro εὐθὺς μὲν ἦγε. — ταὐτά] sic Schneid.; codd. ταῦτα. — §. 14. ὁ Χειρίσοφος] EFGHKL καὶ ὁ Χ., quod post Zeunium omnes recentiores edd. receperunt, nulla tamen cogente necessitate. — παρήγγελλον] παρήγγελον A; v. §. 9. — ἐβουλεύοντο] sic BD pro ἐβουλεύσαντο. — ἔμπροσθεν] sic ABDE pro πρόσθεν. — πάσχοιεν κακόν] sic AB pro κακ. πάσχ. — §. 15. ἔτι] sic ABDEN; reliqui om. — §. 16. καλῶς ταῦτα] ταῦτα καλῶς AHL. — τέτταρες στάδιοι] sic ABDEN pro τέτταρα στάδια.

h. e. eo consilio, ut ignem accenderent. V. ad I, 2, 1.

παιδίσκας] puellas, filias, non servas vertendum esse docet Lobeckius ad Phrynich. p. 239.

ὥςπερ μαρσίπους ἱματίων κατατιθεμένους] sacculos quosdam (h. e. ὥςπερ) vestimentis impletos sibi reposuisse, recondidisse. [quasi sacculos vestimentorum, *Dinge, die ausgesehen hätten wie Kleidersäcke.* ROST.]

§. 12. προςβατόν] Sic ob ea, quae Lobeckius ad Paralipom. p. 478 sqq. docuit, recte Krügerus scripsit in ed. min. Ubi adiectiva significant aliquid, quod fieri potest, oxytona; ubi autem aliquid, quod factum est, barytona sunt.

γυμνοὶ ὡς νευσούμενοι] nudi ut ad natandum. V. ad I, 1, 3.

διαβαίνειν] se traiecisse.

§. 13. ἐγχεῖν ἐκέλευε] Scil. τοὺς περὶ αὐτόν.

τοῖς φήνασι θεοῖς κτλ.] Apposite Lion. comparavit Arrian. Anab. II, 3: καὶ ἐπὶ τούτοις ἔθυε τῇ ὑστεραίᾳ Ἀλέξανδρος τοῖς φήνασι θεοῖς τά τε σημεῖα καὶ τοῦ δεσμοῦ τὴν λύσιν.

§. 17. ἀντιπαρῄεσαν] in opposita ripa progrediebantur equites, uti interpretatur Schneiderus. Supra IV,

δὴ δὲ ἦσαν κατὰ τὴν διάβασιν καὶ τὰς ὄχθας τοῦ ποταμοῦ, ἔθεντο τὰ ὅπλα· καὶ αὐτὸς πρῶτος Χειρίσοφος στεφανωσάμενος καὶ ἀποδὺς ἐλάμβανε τὰ ὅπλα καὶ τοῖς ἄλλοις πᾶσι παρήγγελλε, καὶ τοὺς λοχαγοὺς ἐκέλευεν ἄγειν τοὺς λόχους ὀρθίους, τοὺς μὲν ἐν ἀριστερᾷ, τοὺς δ' ἐν
18 δεξιᾷ ἑαυτοῦ. Καὶ οἱ μὲν μάντεις ἐσφαγιάζοντο εἰς τὸν ποταμόν· οἱ δὲ πολέμιοι ἐτόξευόν τε καὶ ἐσφενδόνων,
19 ἀλλ' οὔπω ἐξικνοῦντο· ἐπεὶ δὲ καλὰ ἦν τὰ σφάγια, ἐπαιάνιζον πάντες οἱ στρατιῶται καὶ ἀνηλάλαζον, συνωλόλυζον δὲ καὶ αἱ γυναῖκες ἅπασαι. Πολλαὶ γὰρ ἦσαν ἑταῖραι ἐν τῷ στρατεύματι.

20 Καὶ Χειρίσοφος μὲν ἐνέβαινε καὶ οἱ σὺν ἐκείνῳ· ὁ δὲ Ξενοφῶν τῶν ὀπισθοφυλάκων λαβὼν τοὺς εὐζωνοτάτους ἔθει ἀνὰ κράτος πάλιν ἐπὶ τὸν πόρον τὸν κατὰ τὴν ἔκβασιν τὴν εἰς τὰ τῶν Ἀρμενίων ὄρη, προσποιούμενος ταύτην διαβὰς ἀποκλείσειν τοὺς παρὰ τὸν ποτα-
21 μὸν ἱππεῖς. Οἱ δὲ πολέμιοι ὁρῶντες μὲν τοὺς ἀμφὶ Χει-

§. 17. *στεφανωσάμενος*] sic ABDEN pro ἐστεφανωμένος. — *παρήγγελλε*] παρήγγελε AK; v. §. 9. — §. 20. *ἐκείνῳ*] v. adn. — *τῶν ὀπισθοφ. λαβών*] sic AB pro λαβὼν τῶν ὀπ. — *ταύτην*] sic ABDEN et correctus I pro ταύτῃ, v. §. 5. — *ἀποκλείσειν*] ἀποκλείσασθαι ABDE, miro

3, 3: ἅμα δὲ τῇ ἡμέρᾳ ὁρῶσιν (οἱ Ἕλληνες) ἱππεῖς που πέραν τοῦ ποταμοῦ ἐξωπλισμένους ὡς κωλύσοντας διαβαίνειν.

ἔθεντο τὰ ὅπλα] constiterunt. V. ad I, 5, 14.

στεφανωσάμενος] „Ex more Lacedaemoniorum, quem narrat noster de Rep. Lac. 13, 8. Hellenic. IV, 2, 12. Plutarch. Lycurg. c. 22." SCHNEIDER.

ἀποδύς] veste posita.

παρήγγελλε] Scil. ἀποδῦσι λαμβάνειν τὰ ὅπλα. V. ad III, 1, 44. παρακαλεῖν.

τοὺς λόχους ὀρθίους] V. ad IV, 2, 11.

§. 18. *ἐσφαγιάζοντο εἰς τὸν ποταμόν*] „Sacrificio diis fluvium habitantibus oblato, ut in medio Hellesponto taurum Neptuno et Nereidibus mactabat Alexander Arrian. I, 11. Cf. VI, 3., ubi est: αὐτὸς δὲ ἔθυε τοῖς θεοῖς, ὡς νόμος, καὶ τῷ ποταμῷ τῷ Ὑδάσπῃ, — καὶ ἐπιβὰς τῆς νεὼς ἀπὸ τῆς πρῴρας ἐκ χρυσῆς φιάλης ἔσπενδεν ἐς τὸν ποταμόν, τόν τ' Ἀκεσίνην ξυνεπικαλούμενος τῷ Ὑδάσπῃ — καὶ τὸν Ἰνδόν. Idem narrat Indic. cap. 18, 11." HUTCHINS. De locutione σφαγιάζεσθαι εἰς τὸν ποταμόν v. ad II, 2, 9.

§. 19. *ἑταῖραι*] Cf. IV, 1, 14.

§. 20. *καὶ οἱ σὺν ἐκείνῳ*] Sic AB (hic a secunda, sed eadem manu) DE pro vulg. κ. οἱ σ. αὐτῷ, quod sine dubio ab aliena manu profectum est. Saepissime enim casus pronominis ἐκεῖνος pro casibus pronominis αὐτός cum vi quadam usurpantur, inprimis, ubi oppositio graviter efferenda est. Quem usum multis locis illustravimus ad Commentar.

ρίσοφον εὐπετῶς τὸ ὕδωρ περῶντας, ὁρῶντες δὲ τοὺς ἀμφὶ Ξενοφῶντα θέοντας τοὔμπαλιν, δείσαντες, μὴ ἀποκλεισθείησαν, φεύγουσιν ἀνὰ κράτος ὡς πρὸς τὴν ἀπὸ τοῦ ποταμοῦ ἔκβασιν ἄνω. Ἐπεὶ δὲ κατὰ τὴν ὁδὸν ἐγένοντο, ἔτεινον ἄνω πρὸς τὸ ὄρος. *Λύκιος* δ' ὁ τὴν τάξιν 22
ἔχων τῶν ἱππέων καὶ *Αἰσχίνης* ὁ τὴν τάξιν ἔχων τῶν πελταστῶν τῶν ἀμφὶ Χειρίσοφον, ἐπεὶ ἑώρων ἀνὰ κράτος φεύγοντας, εἵποντο· οἱ δὲ στρατιῶται ἐβόων μὴ ἀπολείπεσθαι, ἀλλὰ συνεκβαίνειν ἐπὶ τὸ ὄρος. *Χειρίσοφος* δ' αὖ 23
ἐπεὶ διέβη, τοὺς μὲν ἱππέας οὐκ ἐδίωκεν, εὐθὺς δὲ κατὰ τὰς προσηκούσας ὄχθας ἐπὶ τὸν ποταμὸν ἐξέβαινεν ἐπὶ τοὺς ἄνω πολεμίους. Οἱ δὲ ἄνω ὁρῶντες μὲν τοὺς ἑαυτῶν ἱππέας φεύγοντας, ὁρῶντες δ' ὁπλίτας σφίσιν ἐπιόντας, ἐκλείπουσι τὰ ὑπὲρ τοῦ ποταμοῦ ἄκρα.

Ξενοφῶν δέ, ἐπεὶ τὰ πέραν ἑώρα καλῶς γιγνόμενα, 24
ἀπεχώρει τὴν ταχίστην πρὸς τὸ διαβαῖνον στράτευμα· καὶ γὰρ οἱ Καρδοῦχοι φανεροὶ ἤδη ἦσαν εἰς τὸ πεδίον

errore. — §. 21. **περῶντας**] sic ABE pro *διαπερῶντας*. — **τοὔμπαλιν**] sic BHKL et Ald. pro *εἰς τοὔμπαλιν*; I *εἰς* supra versum scriptum habet. V. ad I, 4, 15. — **ὡς**] sic ABE; reliqui om. — **ἀπό**] om. ADE. — §. 23. **σφίσιν ἐπιόντας**] sic AB pro *ἐπ. σφ.*

I, 6, 3. Cf. VI, 4, 11. extr. VII, 3, 4. Pari modo etiam pro reflexivo ponitur, ut VII, 4, 10: *ἐπήρετο ὁ Σεύθης τὸν παῖδα, εἰ παίσειεν αὐτὸν (Ἐπισθένην) ἀντὶ ἐκείνου* (sc. *τοῦ παιδός*). Infra V, 5, 7. bis adeo positum et ad eandem personam relatum est: *ἦν γὰρ ἐκείνων καὶ φόρους ἐκείνοις ἔφερον.*

ἀνὰ κράτος] V. ad I, 8, 1.

ἐπὶ τὸν πόρον] Non est is transitus intelligendus, qui §. 12., sed is, qui §. 5 sq. commemoratur.

§. 21. **τοὺς ἀμφὶ Χειρίσοφον**] H. e. Cherisophum cum suis militibus. V. ad III, 2, 2.

ὁρῶντες μὲν — ὁρῶντες δέ] V. ad I, 9, 10.

ὡς πρὸς τὴν — ἔκβασιν] V. ad I, 2, 1.

§. 22. **Λύκιος**] Vid. III, 3, 20. De Aeschine v. IV, 8, 18.

ἐβόων μὴ ἀπολείπεσθαι] H. e. clamabant, ne remanerent scil. post hostes. Perperam Weiskius interpretatur: clamabant se remansuros non esse. Verbum clamandi, omnino verba dicendi saepissime vi iubendi usurpantur. Supra I, 8, 12: *τῷ Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων.* §. 19: *ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ.* V, 2, 32. *ἐβόα βοηθεῖν.* Cf. Popponem ad Thuc. III, 15. ed. Goth.

§. 23. **κατὰ τὰς προσηκούσας ὄχθας ἐπὶ τὸν ποταμόν**] Pro: *κατὰ τὰς ἐπὶ τὸν ποταμὸν προσηκούσας ὄχθας.* V. ad IV, 2, 18.

ἐπὶ τοὺς ἄνω πολεμίους] §. 3: *πεζοὺς δ' ἐπὶ ταῖς ὄχθαις παρατεταγμένους ἄνω τῶν ἱπ-*

25 καταβαίνοντες ὡς ἐπιθησόμενοι τοῖς τελευταίοις. Καὶ Χειρίσοφος μὲν τὰ ἄνω κατεῖχε, Λύκιος δὲ σὺν ὀλίγοις ἐπιχειρήσας ἐπιδιῶξαι ἔλαβε τῶν σκευοφόρων τὰ ὑπολειπόμενα καὶ μετὰ τούτων ἐσθῆτά τε καλὴν καὶ
26 ἐκπώματα. Καὶ τὰ μὲν σκευοφόρα τῶν Ἑλλήνων καὶ ὁ ὄχλος ἀκμὴν διέβαινε, Ξενοφῶν δὲ στρέψας πρὸς τοὺς Καρδούχους ἀντία τὰ ὅπλα ἔθετο καὶ παρήγγειλε τοῖς λοχαγοῖς κατ' ἐνωμοτίας ποιήσασθαι ἕκαστον τὸν ἑαυτοῦ λόχον, παρ' ἀσπίδας παραγαγόντας τὴν ἐνωμοτίαν ἐπὶ φάλαγγος, καὶ τοὺς μὲν λοχαγοὺς καὶ τοὺς ἐνωμοτάρχας πρὸς τῶν Καρδούχων ἰέναι, οὐραγοὺς δὲ καταστήσασθαι
27 πρὸς τοῦ ποταμοῦ. Οἱ δὲ Καρδοῦχοι ὡς ἑώρων τοὺς ὀπισθοφύλακας τοῦ ὄχλου ψιλουμένους καὶ ὀλίγους ἤδη

§. 27. **παραγγέλλη**] παραγγέλλοι E; παραγγέλη D; παραγγείλη A. — §. 28. **διαβαίνοντας**] sic ABI et Steph. pro καταβαίνοντας. — **μή**] sic ABCD; reliqui om. — **ἐμβαίνειν**] sic ABD pro ἐκβαίνειν. — **διηγκυλωμένους**] v. adn. — **προπέων** ὡς κωλύσοντας εἰς τὴν Ἀρμενίαν ἐκβαίνειν.

§. 24. **ὡς ἐπιθησόμενοι**] V. ad I, 1, 3.

§. 25. **ἐσθῆτα**] V. ad III, 1, 19.

§. 26. **ἀκμήν**] tum maxime, eo ipso temporis puncto. V. Lobeck. ad Phryn. p. 123.

πρὸς τοὺς Κ. ἀντία τὰ ὅπλα ἔθετο] Carduchis aciem adversam instruxit. V. ad I, 5, 14.

ἐνωμοτίας] V. ad III, 4, 21.

παρ' ἀσπίδας κτλ.] „Arrian. Tact. p. 54: *Καὶ τῆς κλίσεως ἐπὶ δόρυ μὲν καλεῖται ἡ ἐς δεξιά, ἵνα περ τὸ δόρυ ἐστὶ τῷ ὁπλίτῃ, ἐπ' ἀσπίδα δὲ ἡ ἐπὶ τὰ λαιά, ἵνα φέρει τὴν ἀσπίδα.* Praecipit hic Xenophon de παραγωγῇ, quae Tacticis dicitur εὐώνυμος. Adde Aelian. Tact. c. 24. et 31." HUTCHINS. *Παράγειν* est milites ab altitudine in latitudinem (frontem) ducere, ut frons porrigatur (*aufmarschiren lassen*). Cyrop. II, 3, 21: *τὸν ὕστερον λόχον παράγειν καὶ τὸν τρίτον καὶ τὸν τέταρτον εἰς μέτωπον.* Cf. Sturz. L. Xen. T. III. p. 413. **Ἐπὶ φάλαγγος**, in phalangem, h. e. ut phalanx (acies) instrueretur. Cf. eundem T. IV. p. 426., qui comparat Cyrop. VI, 3, 21. *ἐπὶ φάλαγγος καθίστασθαι.* Cf. infra IV, 6, 6. VI, 5, 7. Cyrop. I, 6, 43: *εἴ σοι ἐπὶ φάλαγγος ἄγοντι ἄλλοθέν ποθεν οἱ πολέμιοι φαίνοιντο.*

νοῦμεν ὑπαίθριοι ἐν τῇ τάξει, παρεσκευασμένοι, ἂν μέν τις εὖ ποιῇ, ἀντευποιεῖν, ἂν δὲ κακῶς, ἀλέξασθαι. 22 *Ἃ δὲ ἠπείλησας, ὡς, ἢν ὑμῖν δοκῇ, Κορύλαν καὶ Παφλαγόνας ξυμμάχους ποιήσεσθε ἐφ' ἡμᾶς, ἡμεῖς δέ, ἢν μὲν ἀνάγκη ᾖ, πολεμήσομεν καὶ ἀμφοτέροις· ἤδη γὰρ καὶ ἄλλοις πολλαπλασίοις ὑμῶν ἐπολεμήσαμεν· ἂν δὲ δοκῇ, ἡμῖν καὶ φίλον ποιήσομεν τὸν Παφλαγόνα.* 23 *Ἀκούομεν δὲ αὐτὸν καὶ ἐπιθυμεῖν τῆς ὑμετέρας πόλεως καὶ χωρίων τῶν ἐπιθαλαττίων. Πειρασόμεθα οὖν ξυμπράττοντες αὐτῷ ὧν ἐπιθυμεῖ φίλοι γίγνεσθαι.*

24 *Ἐκ τούτου μάλα μὲν δῆλοι ἦσαν οἱ ξυμπρέσβεις τῷ Ἑκατωνύμῳ χαλεπαίνοντες τοῖς εἰρημένοις, παρελθὼν δ' αὐτῶν ἄλλος εἶπεν, ὅτι οὐ πόλεμον ποιησόμενοι ἥκοιεν, ἀλλὰ ἐπιδείξοντες, ὅτι φίλοι εἰσί. Καὶ ξενίοις, ἢν μὲν*

ξυμπρ.] sic ABD pro *συμπρ.* — *γίγνεσθαι*] sic BHL; *γίνεσθαι* AIK, fortasse recte, v. var. scr. II, 2, 3.; reliqui *γενέσθαι.* — §. 24. *ξυμπρ.*] sic ABD pro *συμπρ.* — *ἥκοιεν*] *ἥκομεν* FGHIKL et Ald., sine dubio e correct. ob seqq.

§. 21. *Οἱ δ' ἄλλοι — σκηνοῦμεν*] V. ad II, 5, 25. *ὑπαίθριοι*] sub dio. Cf. VII, 6, 24. et adnotata ad I, 4, 12.

§. 22. *ἡμεῖς δέ*] *Δέ* particula h. l. eadem ratione addita est, qua non raro reperitur in apodosi, de quo usu fusius disputavimus in Gr. T. II. §. 738. Cf. infra V, 6, 20. *πλοῖα δέ*; ad VII, 7, 7: *ἐπεὶ δὲ ἡμῖν φίλοι ἐγένεσθε —, νῦν δὲ ἐξελαύνετε ἡμᾶς*, ubi frustra omnes fere edd. contra codd. dant *δή*. Ergo h. l. dicitur, quasi praecesserit: *εἰ δὲ σὺ μὲν ἠπείλησας —, ἡμεῖς δὲ κτέ.* Cf. infra VI, 6, 16.

πολλαπλασίοις ὑμῶν] V. ad III, 2, 14.

φίλον ποιήσομεν τὸν Παφλαγόνα] Sic BDEN; eodem ducit A, qui habet *ποιήσωμεν*; FGHI dant *φίλον ποιεῖσθαι Κορύλαν καὶ τὸν Παφλαγόνα*, neque aliter KLM et Aldina, nisi quod addunt *ποιούμεθα φίλον.* Unde Zeunius locum sic constituit: *ἂν δὲ δοκῇ ἡμῖν, καὶ τὸν Παφλαγόνα ποιούμεθα φίλον.* At necessario requiritur *ποιησόμεθα*, praesertim quum antecedat *ποιήσεσθε.* Negari quidem non potest, ex vulgari dicendi ratione exspectari h. l. *φίλον ποιησόμεθα*, praesertim quum paullo ante dictum sit *ξυμμάχους ποιήσεσθε*; at haec difficultas sublata est ab eis, quos nos quoque secuti sumus, qui distinctionem non post, sed ante *ἡμῖν* posuerunt. — *Τὸν Παφλαγόνα* i. e. regem Paphlagonum. V. nos in Gr. T. II. §. 407, 3. (Gr. schol. §. 243, 2.)

§. 23. *Ἀκούομεν — αὐτὸν — ἐπιθυμεῖν*] V. ad II, 5, 13.

§. 24. *δῆλοι ἦσαν — χαλεπαίνοντες*] V. ad I, 2, 11.

εἶπεν, ὅτι — ἥκοιεν, — εἰσί] V. ad II, 1, 3.

Καὶ ξενίοις — δεξόμεθα] Obliqua oratio deflexit in rectam. V. nos in Gr. T. II. §. 850. (Gr. schol. §. 345. not. 6.)

ἔλθητε πρὸς τὴν Σινωπέων πόλιν, ἐκεῖ δεξόμεθα, νῦν δὲ
τοὺς ἐνθάδε κελεύσομεν διδόναι ἃ δύνανται· ὁρῶμεν
25 γὰρ πάντα ἀληθῆ ὄντα, ἃ λέγετε. Ἐκ τούτου ξένιά τε
ἔπεμπον οἱ Κοτυωρῖται, καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων
ἐξένιζον τοὺς Σινωπέων πρέσβεις, καὶ πρὸς ἀλλήλους
πολλά τε καὶ φιλικὰ διελέγοντο τά τε ἄλλα καὶ περὶ τῆς
λοιπῆς πορείας ἀνεπυνθάνοντο καὶ ὧν ἑκάτεροι ἐδέοντο.
1 VI. Ταύτῃ μὲν τῇ ἡμέρᾳ τοῦτο τὸ τέλος ἐγένετο.
Τῇ δὲ ὑστεραίᾳ ξυνέλεξαν οἱ στρατηγοὶ τοὺς στρατιώτας· καὶ ἐδόκει αὐτοῖς περὶ τῆς λοιπῆς πορείας παρακαλέσαντας τοὺς Σινωπέας βουλεύεσθαι. Εἴτε γὰρ πεζῇ δέοι πορεύεσθαι, χρήσιμοι ἂν ἐδόκουν εἶναι οἱ Σινωπεῖς· ἔμπειροι γὰρ ἦσαν τῆς Παφλαγονίας· εἴτε κατὰ θάλατταν,

διδόναι] διαδιδόναι BE. — §. 25. τοὺς Σινωπέων πρ.] sic AB pro τοὺς τῶν Σ. πρ., cf. §. 24. — φιλικά] v. adn. — ἀνεπυνθ.] v. adn. — καὶ ὧν] καί om. AEIK; ὧν om. BFG; at recte docet Krüg. καί omitti non posse, nisi etiam ἑκάτεροι omittatur, ut οἱ Ἕλληνες tantum ad verbum ἐδέοντο cogitandi sint.

Cap. VI. §. 1. Ταύτῃ μέν] v. adn. — ξυνέλεξαν] sic A pro συνέλ. V. ad II, 1, 17. — δέοι] ἐδόκει ABE. — χρήσιμοι] sic BH pro χρήσιμον, v. quae ad III, 2, 22. at-

§. 25. φιλικά] Sic ABDEN pro ἐπιτήδεια, quod editores praetulerunt, quum illud nihil aliud esse censerent, nisi interpretamentum vocabuli ἐπιτήδεια. Schneiderus comparat Cyrop. IV, 1, 12: ἐκ τούτου εἶπόν τό τε πάντες καὶ ἔλεγον οἷα ἐπιτήδεια ἐδόκουν εἶναι ὑπὲρ ὧν ἐδέοντο. Neque silentio praetereundum veteres grammaticos vocabulum ἐπιτήδειος per φίλος interpretari, uti docet idem V. D., v. Sturz. L. X. T. II. p. 327. Quae tamen caussae persuadere mihi non potuerunt, ut scripturam desererem tanta codicum auctoritate suffultam. Neque id me movere potuit, quod ἐπιτήδειος multo exquisitius vocabulum est, quam φιλικός: de qua re v. nos ad V, 6, 26.

ἀνεπυνθάνοντο] Sic A pro ἐπυνθάνοντο. Sic V, 7, 1. ἀνεπύθοντο.

Cap. VI. §. 1. Ταύτῃ μὲν τῇ] Iniuria Schneiderus ex K scripsit ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ, v. adnotata nostra ad I, 10, 18. et cf. VI, 1, 13.

τοῦτο τὸ τέλος ἐγένετο] Cf. VI, 1, 13: τῇ μὲν νυκτὶ ταύτῃ τοῦτο τὸ τέλος ἐγένετο. FGH et Ald. omittunt τό, ut τέλος pro praedicato accipiendum sit, v. ad IV, 7, 5.

ἐδόκει αὐτοῖς — παρακαλέσαντας — βουλεύεσθαι] V. ad I, 2, 1.

προςδεῖν] Additum πρός h. l. non insuper significare, sed tantum simplicis verbi vim intendere videtur.

μόνοι γὰρ ἄν] Particula ἄν recte addita est ex ABE. Verte: credebant enim eos solos idoneos fore. V. ad I, 3, 6. Facile h. l. ἄν omitti potuit, quia in illa enuntiatione, quae huic

προςδεῖν ἐδόκει Σινωπέων· μόνοι γὰρ ἂν ἐδόκουν ἱκανοὶ εἶναι πλοῖα παρασχεῖν ἀρκοῦντα τῇ στρατιᾷ. Καλέσαν- 2
τες οὖν τοὺς πρέσβεις ξυνεβουλεύοντο καὶ ἠξίουν Ἕλληνας ὄντας Ἕλλησι τούτῳ πρῶτον καλῶς δέχεσθαι τῷ εὔνους τε εἶναι καὶ τὰ κάλλιστα ξυμβουλεύειν.

Ἀναστὰς δὲ Ἑκατώνυμος πρῶτον μὲν ἀπελογήσατο 3
περὶ οὗ εἶπεν, ὡς τὸν Παφλαγόνα φίλον ποιήσοιντο, ὅτι οὐχ ὡς τοῖς Ἕλλησι πολεμησόντων σφῶν εἴποι, ἀλλ' ὅτι, ἐξὸν τοῖς βαρβάροις φίλους εἶναι, τοὺς Ἕλληνας αἱρήσονται. Ἐπεὶ δὲ ξυμβουλεύειν ἐκέλευον, ἐπευξάμενος
ὧδε εἶπεν· Εἰ μὲν ξυμβουλεύοιμι, ἃ βέλτιστά μοι δοκεῖ 4
εἶναι, πολλά μοι κἀγαθὰ γένοιτο· εἰ δὲ μή, τἀναντία. Αὕτη γὰρ ἡ ἱερὰ ξυμβουλὴ λεγομένη εἶναι δοκεῖ μοι

tulimus. — Σινωπεῖς] sic ABE; quod post h. v. reliqui codd. addunt ἡγούμενοι, apertum glossema est; quare omisi. — μόνοι γὰρ ἂν] sic ABE; reliqui om. ἄν. — §. 2. ξυνεβουλ. et paullo post ξυμβ.] sic ABD pro συνεβ. et συμβ. — κάλλιστα] sic ADEN pro βέλτιστα, quod ex §. 4. natum videtur. — §. 3. ξυμβ.] sic AB pro συμβ. — §. 4. ξυμβ.] sic AB pro συμβ. — δοκεῖ εἶναι] εἶναι δοκεῖ B. — κἀγαθά] sic FGH IKL; καὶ ἀγ. A; reliqui ἀγαθά. — ξυμβ.] sic B pro συμβ. —

respondet (ἔμπειροι γὰρ κτλ.), non legitur.

§. 2. ἠξίουν Ἕλληνας ὄντας Ἕλλησι — ξυμβουλεύειν] Structura huius loci est impeditior. Verte: rogabant Sinopenses, ut, quum ipsi Graeci essent, Graecos ante omnia eo bene exciperent, ut benevolam eis exhiberent mentem et utilissima consilia darent. Vulgari modo verba sic ordinanda erant: Ἕλληνας ὄντας Ἕλληνας τούτῳ πρ. κ. δέχεσθαι τῷ εὔνους τε αὐτοῖς εἶναι κτλ. Dativum Ἕλλησι, qui pendet ab εὔνους εἶναι, praemisit ad duplicis accusativi concursum evitandum et verbis Ἕλληνας ὄντας adiunxit ad παρήχησιν (paronomasiam) efficiendam, de qua v. nos ad I, 9, 2. De structura τούτῳ — τῷ εὔνους εἶναι v. nos in Gr. T. II. §. 631, 2. (Gr. schol. §. 304, 2.) Adde Breitenbach. ad Oecon. XIV, 10. τούτῳ . . . τῷ ἐθέλειν.

§. 3. ἀπελογήσατο, ὅτι — εἴποι, ἀλλ' ὅτι — αἱρήσονται] se eo excusavit, quod non cum Graecis bellum se gesturos esse dixisset, sed quod, quum sibi liceret cum barbaris amice vivere, Graecos praelaturi essent. De structura ὡς πολεμησόντων σφῶν εἴποι v. ad I, 3, 6.; de ἐξόν ad II, 5, 22. Aptissime Xenophon ab optativis ποιήσοιντο et εἴποι transiit ad indicativum αἱρήσονται, quo res certo futura significaretur. Cf. ad I, 3, 14.

§. 4. πολλά μοι — γένοιτο] Γένοιτο est optantis. V. ad II, 4, 5.

Αὕτη γὰρ ἡ ἱερὰ ξυμβουλὴ — παρεῖναι] „Nunc mihi locus is et tempus id adesse videtur, quo licebit adhibere vetus illud (proverbium): ἱερὸν ἡ συμβουλή." SCHNEID. Nunc

παρεῖναι· νῦν μὲν γὰρ δή, ἂν μὲν εὖ ξυμβουλεύσας φανῶ, πολλοὶ ἔσονται οἱ ἐπαινοῦντές με, ἂν δὲ κακῶς, πολ-
5 λοὶ ἔσεσθε οἱ καταρώμενοι. Πράγματα μὲν οὖν οἶδ' ὅτι πολὺ πλείω ἕξομεν, ἐὰν κατὰ θάλατταν κομίζησθε· ἡμᾶς γὰρ δεήσει τὰ πλοῖα πορίζειν· ἢν δὲ κατὰ γῆν στέλλη-
6 σθε, ὑμᾶς δεήσει τοὺς μαχομένους εἶναι. Ὅμως δὲ λεκτέα ἃ γινώσκω· ἔμπειρος γάρ εἰμι καὶ τῆς χώρας τῶν Παφλαγόνων καὶ τῆς δυνάμεως. Ἔχει γὰρ ἀμφότερα, καὶ
7 πεδία κάλλιστα καὶ ὄρη ὑψηλότατα. Καὶ πρῶτον μὲν οἶδα εὐθύς, ᾗ τὴν εἰςβολὴν ἀνάγκη ποιεῖσθαι· οὐ γάρ ἐστιν ἄλλη, ἢ ᾗ τὰ κέρατα τοῦ ὄρους τῆς ὁδοῦ καθ' ἑκάτερά ἐστιν ὑψηλά, ἃ κρατεῖν κατέχοντες καὶ πάνυ ὀλίγοι

νῦν μὲν γὰρ δή] sic AB; *νῦν γὰρ δή* E; reliqui *νῦν γάρ*. De *μέν* cf. §. 19. et ad I, 2, 1. — *ξυμβουλεύσας*] sic AB pro *συμβ.* — *ἔσονται*] v. adn. — *ἔσεσθε*] *ἔσονται* E, sine dubio ob antecedens *ἔσονται*. — §. 5. *πορίζειν*] *πορίζεσθαι* ADE. — *γῆν*] v. adn. — §. 6. *γινώσκω*] sic AB pro *γιγν.*, v. var. scr. I, 10, 12. — *Ἔχει γὰρ ἀμφότερα*] sic ABE pro *ἔχει γὰρ ἡ χώρα ἀμφ.* — §. 7. *ἄλλη, ἢ ᾗ τὰ κέρατα*] *ἄλλη ἢ τὰ κ.* A; *ἄλλη ἢ κατὰ κέρατα* E; *ἢ ᾗ* om. FGHIKL et Ald. — *τοῦ ὄρους τῆς ὁδοῦ*] sic ABC pro *τῆς ὁδοῦ τοῦ ὄρους*. — *δύναιντ' ἄν*] sic AB pro *δύναιντο* sine *ἄν*. —

igitur summa mihi in consilio dando adhibenda erit religio. De *ἱερᾷ συμβουλῇ* docte disputat Sturzius in L. X. T. IV. p. 138 sq. Menkius comp. Platon. epist. V. p. 321. C.

γὰρ δή] V. ad IV, 8, 24.

ἔσονται] Sic ABE; *ἔσεσθαι* FG; reliqui *ἔσεσθε*, quod recentiores editores praeter Krügerum ceteri omnes iniuria receperunt; sine dubio enim *ἔσονται* mutatum est in *ἔσεσθε* ob sequens *ἔσεσθε*, quod contra E in *ἔσονται* mutavit. Laudem enim Hecat. non solum a praesentibus Graecis, sed etiam ab aliis sperare potuit, uti verissime Krügerus docet.

§. 5. *κατὰ γῆν*] Sic A pro *κατὰ γῆς*, quod a Dindorfio retentum esse miror; nam *κατὰ γῆς (στέλλεσθαι)* nullo modo dici potest, ubi opponitur *κατὰ θάλατταν (κομίζεσθαι)*. Primus hunc errorem detexit Poppo, quem eundem v. ad Thuc. VII, 28.

§. 6. *γὰρ — γάρ*] Prius *γάρ* rationem reddit, cur H. dicendum putet, quod sentit; alterum explicandi vim habet. V. nos ad Commentar. II, 6, 21.

§. 7. *τῆς ὁδοῦ καθ' ἑκάτερα*] H. e. ab utraque viae parte. De ordine verborum Bornemannus comparat Diod. Sic. IV, 74: *κατῴκει τῆς Ἀσίας περὶ τὴν νῦν ὀνομαζομένην Παφλαγονίαν*. Herod. VII, 184. *τὰς καμήλους τοὺς ἐλαύνοντας Ἀραβίους*. Plat. Apol. p. 39. C: *πλείους ἔσονται ὑμᾶς οἱ ἐλέγχοντες*. Plura dedimus ad Commentar. I, 6, 13. *καὶ τὴν σοφίαν — τοὺς — πωλοῦντας*.

ἃ κρατεῖν κατέχοντες καὶ πάνυ ὀλίγοι δύναιντ'

δύναιντ' ἄν· τούτων δὲ κατεχομένων οὐδ' ἂν οἱ πάντες ἄνθρωποι δύναιντ' ἂν διελθεῖν. Ταῦτα δὲ καὶ δείξαιμι ἄν, εἴ μοί τινα βούλοισθε ξυμπέμψαι. Ἔπειτα δὲ οἶδα καὶ 8
πεδία ὄντα καὶ ἱππείαν, ἣν αὐτοὶ οἱ βάρβαροι νομίζουσι κρείττω εἶναι ἁπάσης τῆς βασιλέως ἱππείας. Καὶ νῦν οὗτοι οὐ παρεγένοντο βασιλεῖ καλοῦντι, ἀλλὰ μεῖζον φρονεῖ ὁ ἄρχων αὐτῶν. Εἰ δὲ καὶ δυνηθεῖτε τά τε ὄρη 9
κλέψαι ἢ φθάσαι λαβόντες καὶ ἐν τῷ πεδίῳ κρατῆσαι μαχόμενοι τούς τε ἱππέας τούτων καὶ πεζῶν μυριάδας πλεῖον ἢ δώδεκα, ἥξετε ἐπὶ τοὺς ποταμούς, πρῶτον μὲν τὸν Θερμώδοντα εὖρος τριῶν πλέθρων, ὃν χαλεπὸν οἶμαι διαβαίνειν ἄλλως τε καὶ πολεμίων πολλῶν ἔμπροσθεν ὄντων, πολλῶν δὲ ὄπισθεν ἑπομένων· δεύτερον δ'

βούλοισθε] v. adn. — ξυμπ.] sic AB pro συμπ. — §. 8. καὶ πεδία] καί addunt AEO. — ἀλλὰ μεῖζον] sic ABE pro ἀλλὰ καὶ μεῖζον. — §. 9. Εἰ — δυνηθεῖτε] sic A; εἰ etiam E habet; reliqui ἢν — δυνηθῆτε, male; v. adn. — κρατῆσαι] sic ABDEN; κρατεῖτε FG; reliqui κρατῆτε. — τούτων καὶ πεζῶν] sic ABDENQ pro τούτους καὶ πεζούς. — πλεῖον] sic AB pro πλέον. — ἐπὶ τοὺς ποταμούς] sic ABE pro ἐπὶ ποτ. — πολλῶν ἔμπροσθεν] sic ABE pro πολλῶν μὲν ἔμπρ., v. ad I, 9, 10.

ἄν] quae obtinentes vel paucissimi superiores poterunt esse. Κρατεῖν sc. τῶν πολεμίων, hostibus superiores esse. Liberior verborum collocatio apud Graecum scriptorem offendere non potest.

οἱ πάντες ἄνθρωποι] cuncti homines (*die gesammte Menschheit*). V. nos in Gr. T. II. §. 489. β. (Gr. schol. §. 246, 5. β.) Cf. V, 7, 27.

βούλοισθε] Sic BE; βούλησθε A; reliqui βούλεσθε. Utrumque, et optativus et indicativus, per grammaticam rationem recte dicitur. V. nos in Gr. T. II. §. 817. b. §. 819. a. (Gr. schol. §. 339, 2. II. a. et 3. a.)

§. 8. οὐ παρεγένοντο βασιλεῖ καλοῦντι] Schneiderus affert Hellen. IV, 1, 3. Agesil. III, 4.

μεῖζον φρονεῖ] Scil. ἢ ὥστε κληθεὶς ὑπὸ βασιλέως παραγενέσθαι. V. nos in Gr. T. II. §. 752. (Gr. schol. §. 323. not. 7.)

§. 9. κλέψαι] V. ad IV, 6, 11. De εἰ c. optativo iuncto sequente indicativo futuri cf. Oecon. XII, 5: εὔνοιαν — δεήσει αὐτὸν ἔχειν σοὶ καὶ τοῖς σοῖς, εἰ μέλλοι ἀρκέσειν ἀντὶ σοῦ παρών, ibique Breitenb. Cf. nos in Gr. T. II. §. 819. b. (Gr. schol. §. 339, 3. b.)

κρατῆσαι — ἱππέας] vincere equites. V. nos in Gr. T. II. §. 538. not. 2. (Gr. schol. §. 275. not. 1.) Cf. infra VII, 6, 32.

Θερμώδοντα] Hodie *Termeh tschai* (Koch. l. d. p. 120.), qui in Pontum Euxinum influit. V. Mannert. VI, 2. p. 441.

ἄλλως τε καί] praesertim. Cf. VII, 7, 40. 41. V. nos in Gr. T. II. §. 726. not. (Gr. schol. §. 321, 1.)

Ἶριν, τρίπλεθρον ὡσαύτως· τρίτον δ' Ἅλυν, οὐ μεῖον δυ-
οῖν σταδίοιν, ὃν οὐκ ἂν δύναισθε ἄνευ πλοίων διαβῆναι·
πλοῖα δὲ τίς ἔσται ὁ παρέχων; Ὡς δ' αὔτως καὶ ὁ Παρ-
θένιος ἄβατος· ἐφ' ὃν ἔλθοιτε ἄν, εἰ τὸν Ἅλυν διαβαίητε.
10 Ἐγὼ μὲν οὖν οὐ χαλεπὴν ὑμῖν εἶναι νομίζω τὴν πορείαν,
ἀλλὰ παντάπασιν ἀδύνατον. Ἂν δὲ πλέητε, ἔστιν ἐνθένδε
μὲν εἰς Σινώπην παραπλεῦσαι, ἐκ Σινώπης εἰς Ἡράκλει-
αν· ἐξ Ἡρακλείας δὲ οὔτε πεζῇ οὔτε κατὰ θάλατταν ἀπο-
ρία· πολλὰ γὰρ καὶ πλοῖά ἐστιν ἐν Ἡρακλείᾳ.
11 Ἐπεὶ δὲ ταῦτα ἔλεξεν, οἱ μὲν ὑπώπτευον φιλίας ἕνεκα
τῆς Κορύλα λέγειν· καὶ γὰρ ἦν πρόξενος αὐτῷ· οἱ δὲ
καὶ ὡς δῶρα ληψόμενον διὰ τὴν ξυμβουλὴν ταύτην· οἱ

δ' Ἶριν] v. adn. — *μεῖον*] v. adn. — *δύναισθε*] sic recte Pors. pro *δύνησθε*; v. var. scr. II, 5, 19. — §. 10. *ἐκ Σινώπης*] sic AB pro *ἐκ Σ. δέ*; at *ἐνθένδε μέν* opponitur verbis *ἐξ Ἡρ.* — *καὶ πλοῖά ἐστιν*] sic AB; *καί ἐστι πλ.* E; reliqui *ἔστι πλ.* — §. 11. *τῆς Κορύλα*] *τῆς εἰς Κορύλαν* BN; *τῆς Κορύλας* A. — *ξυμβ.*] sic AB pro *συμβ.* — *Σινωπέων τι χ. κακόν*]

δ' Ἶριν] *δὲ Τίγρην* AB; *τίγριν* DN: „unde Paphlagoniae Tigrin amnem assignat Eustath. ad Dion. Perieg. 984. et Salmas. Exercitt. Plin. I. p. 489. Hodie *Kasalmak* audit (et *Jeschil Irmak* ad ostia, *Tosausu* in regione interna). Cf. Mannert. VI, 2. p. 445." SCHNEID. „Sed Irin fluvium memorat Peripl. c. 9. Strab. XII. p. 547." POPPO. Cf. infra var. script. VI, 2, 1.

Ἅλυν] Hodie *Kysyl-Irmak*. V. Mannert. VI, 2. p. 452. sqq.

οὐ μεῖον δυοῖν σταδίοιν] Scil. *εὖρος*. Pro *μεῖον* E dat *μείω* (i. e. minorem), quod recepit Krügerus, a correctoris manu profectum censuit Zeunius, comp. Cyrop. II, 1, 5: (*λογχοφόρους*) *οὐ μείους τετρακισμυρίων — πελταστὰς οὐ μείους τρισμυρίων* — (*ἱππεῖς*) *οὐκ ἐλάττους δισμυρίων*. V. nos ad I, 2, 11.

Παρθένιος] inter Paphlagoniam et Bithyniam, hodie *Bartin* (*Filijaſs-Tschai* ap. Koch. p. 120.). V. Mannert. VI, 3. p. 28.

§. 10. *Ἡράκλειαν*] V. VI, 2, 1.

οὔτε πεζῇ οὔτε κατὰ θάλατταν] Scil. *τὴν πορείαν ποιεῖσθαι.*

§. 11. *φιλίας τῆς Κορύλα*] in Corylam.

ὡς — ληψόμενον] V. ad I, 3, 15.

Οἱ δ' οὖν Ἕλληνες] Quicquid autem fuit, id certum est, Graecos decrevisse etc. V. ad I, 2, 12. Quod in A et B legitur *οἱ δ' αὖ*, ab h. l. alienum est. De frequentissima verborum *οὖν* et *αὖ* in codd. permutatione v. Bornemannum ad Conviv. III, 9. p. 94.

§. 12. *οὕτω δ' ἔχει*] sic autem res sese habet, aut, uti Zeunius interpretatur, sed hac conditione. De *οὕτω* pro *ὧδε* dicto v. ad II, 5, 10.

εἰ — μέλλει —, ἡμεῖς ἂν πλέοιμεν] V. nos ad Commentar. I, 2, 28. et II, 2, 3. Cf. infra VII, 6, 14., ubi v. adn. Gr. T. II. §. 817. b. (Gr. schol. §. 339, 3. α.)

δὲ ὑπώπτευον καὶ τούτου ἕνεκα λέγειν, ὡς μὴ πεζῇ ἰόντες τὴν Σινωπέων τι χώραν κακὸν ἐργάζοιντο. Οἱ δ' οὖν Ἕλληνες ἐψηφίσαντο κατὰ θάλατταν τὴν πορείαν ποιεῖσθαι. Μετὰ ταῦτα Ξενοφῶν εἶπεν· Ὦ Σινωπεῖς, οἱ μὲν 12
ἄνδρες ᾕρηνται πορείαν, ἣν ὑμεῖς ξυμβουλεύετε· οὕτω δ' ἔχει· εἰ μὲν πλοῖα ἔσεσθαι μέλλει ἱκανά, ὡς ἀριθμῷ ἕνα μὴ καταλείπεσθαι ἐνθάδε, ἡμεῖς ἂν πλέοιμεν· εἰ δὲ μέλλοιμεν οἱ μὲν καταλείψεσθαι, οἱ δὲ πλεύσεσθαι, οὐκ ἂν ἐμβαίημεν εἰς τὰ πλοῖα. Γιγνώσκομεν γάρ, ὅτι, ὅπου μὲν 13
ἂν κρατῶμεν, δυναίμεθ' ἂν καὶ σώζεσθαι καὶ τὰ ἐπιτήδεια ἔχειν· εἰ δέ που ἥττους τῶν πολεμίων ληφθησόμεθα, εὔδηλον δή, ὅτι ἐν ἀνδραπόδων χώρᾳ ἐσόμεθα. Ἀκου- 14

sic B; Σ. τὴν χ. κακόν A; reliqui Σ. χώραν κακόν τι. — Οἱ δ' οὖν] v. adn. — §. 12. ᾕρηνται] sic ABDE pro εἰ ᾕρηνται. — ξυμβ.] sic AB pro συμβ. — πλοῖα ἔσεσθαι μέλλει] sic B; πλοῖα ἔσεται E; πλ. ἔσεσθαι A; reliqui μέλλει πλ. ἔσεσθαι. — ὡς ἀριθμῷ] v. adn. — ἡμεῖς ἂν πλέοιμεν] v. adn.

ὡς ἀριθμῷ] Sic omnes codd.; Weiskius e coniectura scripsit ἀριθμῷ, ὡς, quam coniecturam omnes post eum editores receperunt. At quo tandem modo haec mira transpositio explicanda videbitur? Ego omnium codicum scripturam non temere movendam censeo; immo gravissime dictum mihi videtur: ἀριθμῷ εἷς οὐ καταλείπεται ἐνθάδε, uti Latini dicunt: numero ne unus quidem relinquitur hic, h. e. si numerum spectamus; ἀριθμῷ vocabulo εἷς additum est, quo maiore vi id efferretur.

ἕνα μή] Gravius dictum est pro μηδ' ἕνα, uti frustra Schneiderus legendum suspicatur. Cf. Thuc. II, 51: ἕν τε οὐδὲν κατέστη ἴαμα, ὡς εἰπεῖν, ὅτι χρῆν προςφέροντας ὠφελεῖν, ubi Poppo in Commentar. P. III. Vol. II. p. 283. de εἷς οὐδείς pro οὐδὲ εἷς dicto attulit Plat. Civ. VI. p. 488. A: οὐκ ἔστιν ἓν οὐδὲν ἄλλο πεπονθὸς τοιοῦτο. Demosth. Steph. I. §. 18. in Mid. §. 12. Dion. Cass. LXV, 16., comp. Bekk. Anecd. I, 138 sq.

ἡμεῖς ἂν πλέοιμεν] Sic Stephanus, eandemque scripturam habere videntur ABDE, quum ea in eis editionibus legatur, cum quibus hi codices collati sunt; reliqui exhibent ἡμεῖς δὲ πλέοιμεν ἄν, sed in FG δέ erasum est. Δὲ particulae in apodosi positae usum supra ad V, 5, 22. tetigimus; at si legitur ἡμεῖς δέ, hoc pronomen non apte maiore vi effertur. Minus etiam placet, quod Castalio dedit ἡμεῖς δή.

§. 13. ὅπου μὲν ἂν κρατῶμεν] ubicunque superiores erimus scil. numero militum, ergo si non distracti, sed coniunctis viribus iter nostrum faciemus; opponuntur εἰ δέ που ἥττους τῶν πολεμίων ληφθησόμεθα. Cf. §. 32.

ἥττους — ληφθησόμεθα] V. ad III, 1, 36.

ἐν ἀνδραπόδων χώρᾳ ἐσόμεθα] captivorum loco erimus. Infra V, 7, 28: ἐν οὐδεμιᾷ χώρᾳ ἔσονται, ubi v. adn. Cyrop. II, 1, 18. ἐν μισθοφόρου χώρᾳ

σαντες ταῦτα οἱ πρέσβεις ἐκέλευον πέμπειν πρέσβεις. Καὶ
πέμπουσι Καλλίμαχον Ἀρκάδα καὶ Ἀρίστωνα Ἀθηναῖον
καὶ Σαμόλαν Ἀχαιόν. Καὶ οἱ μὲν ᾤχοντο.
15 Ἐν δὲ τούτῳ τῷ χρόνῳ Ξενοφῶντι, ὁρῶντι μὲν ὁπλί-
τας πολλοὺς τῶν Ἑλλήνων, ὁρῶντι δὲ καὶ πελταστὰς
πολλοὺς καὶ τοξότας καὶ σφενδονήτας καὶ ἱππεῖς δὲ καὶ
μάλα ἤδη διὰ τὴν τριβὴν ἱκανούς, ὄντας δ' ἐν τῷ Πόντῳ,
ἔνθα οὐκ ἂν ἀπ' ὀλίγων χρημάτων τοσαύτη δύναμις πα-
ρεσκευάσθη, καλὸν αὐτῷ ἐδόκει εἶναι χώραν καὶ δύνα-
16 μιν τῇ Ἑλλάδι προσκτήσασθαι πόλιν κατοικίσαντας. Καὶ
γενέσθαι ἂν αὐτῷ ἐδόκει μεγάλη, καταλογιζομένῳ τό τε
αὑτῶν πλῆθος καὶ τοὺς περιοικοῦντας τὸν Πόντον. Καὶ
ἐπὶ τούτοις ἐθύετο, πρίν τινι εἰπεῖν τῶν στρατιωτῶν, Σι-
λανὸν καλέσας, τὸν Κύρου μάντιν γενόμενον, τὸν Ἀμ-
17 βρακιώτην. Ὁ δὲ Σιλανὸς δεδιώς, μὴ γένηται ταῦτα καὶ
καταμείνῃ που ἡ στρατιά, ἐκφέρει εἰς τὸ στράτευμα λό-

§. 14. ἐκέλευον πέμπειν] sic AB pro π. ἐκ. — §. 15. ὁπλίτας πολλούς] sic AB pro π. ὁπλ. — ὁρῶντι δὲ καὶ πελτ. πολλ. καὶ τοξ.] sic A et B, sed hic πολλούς geminatum habet; ὁρ. δὲ πολλ. πελτ. καὶ τοξ. DE; ὁρ. δὲ πολλ. πελτ., πολλοὺς καὶ τοξ. FGIK; ὁρ. δὲ πολλ. πελτ., πολλοὺς δὲ τοξ. et καί ante τοξ. superscriptum L; reliqui ὁρ. δὲ πολλ. πελτ., πολλοὺς δὲ καὶ τοξ. — ἱππεῖς] sic AB pro ἱππέας, v. ad I, 5, 13. — ἱκανούς, ὄντας δ' ἐν] sic ABD pro ἱκανοὺς ὄντας ἐν. — εἶναι χώραν] sic AB pro εἶναι καὶ χ.; E εἶναι et καί om. — κατοικίσαντας] κατοικήσαντας ABIL. — §. 16. γενέσθαι ἄν] A et B om. ἄν, quod inter syllabas αι et αν facile excidere potuit. — αὐτῷ ἐδόκει] sic AB pro ἐδ. αὐ-

εἶναι. V. Sturz. L. X. T. IV. p. 576.

§. 14. Ἀκούσαντες ταῦτα] V. ad I, 1, 9. De Dorica forma nominis Σαμόλας v. Heiland. de dial. Xen. p. 11.

§. 15. ὁρῶντι μὲν — ὁρῶντι δέ] V. ad I, 9, 10. De seq. καὶ — δέ v. ad I, 1, 2.

ἔνθα οὐκ ἂν — παρεσκευάσθη] „Xenophonti videnti tantum adhuc Graecorum militum numerum superstitem ex suscepta frustra expeditione visa res est digna gloria Graeci nominis et honore virtutis bellicae in bello contra regem Persarum declaratae, tanto militum numero, quantus in Ponto non facile sine magnis sumptibus comparari potuisset [si exercitum colligere voluisset], abuti ad ditionem Graecorum proferendam et imperium amplificandum." SCHNEID.

αὐτῷ] V. ad II, 4, 7.

§. 16. αὑτῶν] V. ad IV, 7, 19.

Σιλανόν] I, 7, 18. De ἑαυτῷ περιποιήσασθαι v. ad I, 8, 29.

§. 18. οὓς γὰρ κτἑ.] V. supra I, 7, 18.

§. 19. Δαρδανεύς] V. ad III, 1, 47.

ὅτι — ὅτι] V. ad III, 2, 25.

ἐξευποριοῦσι] Hanc optimorum codicum ABDEN au-

γον, ὅτι Ξενοφῶν βούλεται καταμεῖναι τὴν στρατιὰν καὶ πόλιν οἰκίσαι καὶ ἑαυτῷ ὄνομα καὶ δύναμιν περιποιήσασθαι. Αὐτὸς δ' ὁ Σιλανὸς ἐβούλετο ὅ τι τάχιστα εἰς 18
τὴν Ἑλλάδα ἀφικέσθαι· οὓς γὰρ παρὰ Κύρου ἔλαβε τρισχιλίους δαρεικούς, ὅτε τὰς δέκα ἡμέρας ἠλήθευσε θυόμενος Κύρῳ, διεσεσώκει. Τῶν δὲ στρατιωτῶν, ἐπεὶ 19
ἤκουσαν, τοῖς μὲν ἐδόκει βέλτιστον εἶναι καταμεῖναι, τοῖς δὲ πολλοῖς οὔ. Τιμασίων δὲ [ὁ Δαρδανεὺς] καὶ Θώραξ ὁ Βοιώτιος πρὸς ἐμπόρους μέν τινας παρόντας τῶν Ἡρακλεωτῶν καὶ Σινωπέων λέγουσιν, ὅτι, εἰ μὴ ἐξευποριοῦσι τῇ στρατιᾷ μισθόν, ὥστε ἔχειν τὰ ἐπιτήδεια ἐκπλέοντας, ὅτι κινδυνεύσει μεῖναι τοσαύτη δύναμις ἐν τῷ Πόντῳ· βουλεύεται γὰρ Ξενοφῶν καὶ ἡμᾶς παρακαλεῖ, ἐπειδὰν ἔλθῃ τὰ πλοῖα, τότε εἰπεῖν ἐξαίφνης τῇ στρατιᾷ·
Ἄνδρες, νῦν μὲν ὁρῶμεν ἡμᾶς ἀπόρους ὄντας καὶ ἐν τῷ 20

τῷ. — καλέσας] sic AB pro παρακαλέσας, quod interpretis manum prodit. — §. 17. γένηται] sic ABE pro γένοιτο. — καταμείνῃ] sic AB pro καταμείνειε. — βούλεται] βουλεύεται H. — οἰκίσαι] οἰκῆσαι ABFGHIKL; cf. §. 15. — §. 18. οὓς] τούς AB. — §. 19. ὁ Δαρδανεύς] om. ABE; Born. comp. III, 2, 37. VII, 3, 46. 5, 10. etc.; quod autem sequitur Θ. ὁ Βοιώτιος, offendere non potest, quum ille iam notus sit, hic non item. — ἐμπόρους μέν τινας] sic ABE pro ἐμπόρους τινάς; cf. §. 4. — ἐξευποριοῦσι] v. adn. — ἐπειδὰν ἔλθῃ] ἐπειδὰν δὲ ἔλθῃ AB. — §. 20. ἡμᾶς] sic B pro ὑμᾶς. — ἀπόρους] sic ABD pro εὐπόρους. — καὶ ἐν] καί om. B.

ctoritate fultam scripturam cum Bornemanno restituendam putavi pro ἐκποριοῦσι, quod editores ob eam caussam praetulerunt, quod forma ἐξευπορίζειν barbara esset. Eadem est sententia Schaeferi in Melett. critt. p. 659. Scilicet Graeci in compositione verborum eam sequuntur legem, ut verba cum praepositionibus quidem componant, sed cum aliis orationis partibus non alio modo, nisi per flexuram quandam. V. Lobeckium ad Phryn. p. 560 sqq., nos in Gr. T. I. §. 384, 1. b. (Gr. schol. §. 237, 5. A.) At nulla regula sine exceptione. Certe verbi εὐπορίζειν, ἐξευπορίζειν apud veteres scriptores exempla reperiuntur et tam frequentia et tam certa, ut temerarium videatur id usquequaque mutare. V. Lobeckium l. d. p. 595 sq. Etiam infra V, 8, 25. Bornemannus edidit συνεξευπόρισα, sed ibi non addicunt meliores codd., v. adnotata nostra ad illum locum.

ἐκπλέοντας] κατὰ σύνεσιν relatum ad v. τῇ στρατιᾷ. V. ad II, 1, 6.

βουλεύεται] V. ad I, 3, 14.

§. 20. ὁρῶμεν ἡμᾶς ἀπόρους ὄντας] Gravius dictum

ἀπόπλῳ ἔχειν τὰ ἐπιτήδεια καὶ ὡς οἴκαδε ἀπελθόντας ὀνῆσαί τι τοὺς οἴκοι· εἰ δὲ βούλεσθε τῆς κύκλῳ χώρας περὶ τὸν Πόντον οἰκουμένης ἐκλεξάμενοι, ὅπῃ ἂν βούλησθε, κατασχεῖν καὶ τὸν μὲν ἐθέλοντα ἀπιέναι οἴκαδε, τὸν δὲ ἐθέλοντα μένειν αὐτοῦ, πλοῖα δ' ὑμῖν πάρεστιν,
21 ὥστε, ὅπῃ ἂν βούλησθε, ἐξαίφνης ἂν ἐπιπέσοιτε. Ἀκούσαντες ταῦτα οἱ ἔμποροι ἀπήγγελλον ταῖς πόλεσι· ξυνέπεμψε δ' αὐτοῖς Τιμασίων Δαρδανεὺς Εὐρύμαχόν τε τὸν Δαρδανέα καὶ Θώρακα τὸν Βοιώτιον τὰ αὐτὰ ταῦτα ἐροῦντας. Σινωπεῖς δὲ καὶ Ἡρακλεῶται ταῦτα ἀκούσαντες πέμπουσι πρὸς τὸν Τιμασίωνα καὶ κελεύουσι προστατεῦσαι
22 λαβόντα χρήματα, ὅπως ἐκπλεύσῃ ἡ στρατιά. Ὁ δὲ ἄσμενος ἀκούσας ἐν ξυλλόγῳ τῶν στρατιωτῶν ὄντων λέγει

καὶ ὡς οἴκαδε] v. adn. — ὅπῃ] ὅποι BDFGIKL. — ἐθέλοντα] sic ABD pro θέλοντα. — τὸν δὲ ἐθέλοντα] τὸν δὲ θέλ. ABD. — ὅπῃ ἂν βούλησθε] sic AB; ὅπῃ ἂν βούλοισθε E; reliqui ὅπῃ βούλεσθε. — §. 21. ἀπήγγελλον] sic BFGHIKL et Ald. pro ἀπήγγελον, v. ad I, 4, 12. var. scr. — ξυνέπ.] sic AB pro συνέπ. — Δαρδανεύς] sic AB pro ὁ Δ., v. ad IV, 6, 20. — ταῦτα] addunt ABE. — τὸν Τιμ.]

est praetermissa attractione pro vulgari ὁρ. ἄποροι ὄντες; subiectum se ipsum sibi opponit. V. nos in Gr. T. II. §. 656, 1. (Gr. schol. §. 310. not. I.) et ad Commentar. IV, 2, 23.

ἐν τῷ ἀπόπλῳ] H. e. inter navigandum, uti Zeunius interpretatur. Sequentes infinitivi ἔχειν et ὀνῆσαι pendent a v. ἀπόρους, quod h. l. idem fere significat, quod ἀδυνάτους. Schneiderus comparat Oecon. VIII, 10: ὥστε μὴ ἀπορεῖν (sc. σέ) χρῆσθαι.

ὡς οἴκαδε ἀπελθόντας] Sic ABDEN; reliqui codd. omittunt ὡς; quare editores aut plane expunxerunt, aut uncis sepserunt; Dindorfius tamen retinuit. Negari non potest, illud ὡς difficile esse ad explicandum; nam pro ὥστε h. l. accipi non potest; iungendum est igitur cum ἀπελθόντας.

τῆς — χώρας οἰκουμένης] V. ad V, 3, 4. In explicando toto h. l. Schneiderus nodum in scirpo quaesivit. Verte igitur: si autem vobis placet e terra circa Pontum sita, ubicunque vultis, agros vobis deligere eosque occupare et vultis quemvis pro arbitratu suo aut domum redire, aut hic manere: navigia vobis suppetunt, quibus, quocunque velitis, repente invadere possitis. Genitivi τῆς χώρας sunt partitivi; post verbum βούλεσθε primum sequitur simplex infinitivus κατασχεῖν, dein accusativus cum infinitivo τὸν μὲν ἐθέλοντα ἀπιέναι, τὸν δὲ ἐθέλοντα μένειν; apodosis incipit a verbo πλοῖα, ad quam efferendam additum est δέ, de quo v. ad V, 5, 22.

§. 21. προστατεῦσαι —, ὅπως] auctoritate sua efficere, ut. Eadem structura Cyrop. I, 2, 5. 6, 7.

§. 22. ἐν ξυλλόγῳ τῶν στρατιωτῶν ὄντων] in conventu hominum, qui erant milites; στρατιωτῶν est praedicatum.

οὐδ' ὑμῖν λέγοντας] ne

*τάδε· Οὐ δεῖ προςέχειν μονῇ, ὦ ἄνδρες, οὐδὲ τῆς Ἑλ-
λάδος οὐδὲν περὶ πλείονος ποιεῖσθαι. Ἀκούω δέ τινας
θύεσθαι ἐπὶ τούτῳ οὐδ᾽ ὑμῖν λέγοντας. Ὑπισχνοῦμαι δὲ* 23
*ὑμῖν, ἂν ἐκπλέητε, ἀπὸ νουμηνίας μισθοφορὰν παρέξειν
Κυζικηνὸν ἑκάστῳ τοῦ μηνός· καὶ ἄξω ὑμᾶς εἰς τὴν
Τρῳάδα, ἔνθεν καί εἰμι φυγάς, καὶ ὑπάρξει ὑμῖν ἡ ἐμὴ
πόλις· ἑκόντες γάρ με δέξονται. Ἡγήσομαι δὲ αὐτὸς* 24
*ἐγώ, ἔνθεν πολλὰ χρήματα λήψεσθε. Ἔμπειρος δέ εἰμι
τῆς Αἰολίδος καὶ τῆς Φρυγίας καὶ τῆς Τρῳάδος καὶ τῆς
Φαρναβάζου ἀρχῆς πάσης, τὰ μὲν διὰ τὸ ἐκεῖθεν εἶναι,
τὰ δὲ διὰ τὸ ξυνεστρατεῦσθαι ἐν αὐτῇ σὺν Κλεάρχῳ τε
καὶ Δερκυλλίδᾳ. Ἀναστὰς δ᾽ αὖθις Θώραξ ὁ Βοιώτιος, ὃς* 25
ἀεὶ περὶ στρατηγίας Ξενοφῶντι ἐμάχετο, ἔφη, εἰ ἐξέλ-

τόν addunt AB. — §. 22. *ξυλλ.*] sic A pro *συλλ.* — *μονῇ*] *τῇ μ.* A. — §. 23. *ἄν*] sic AB pro *ἐάν.* — *παρέξειν*] sic ABD pro *παρέξειν ὑμῖν.* — *ὑπάρξει ὑμῖν*] *ὑπ. ὑμᾶς* ABDE. — §. 24. *τὰ μὲν — τὰ δέ*] v. adn. — *ξυνεστρ.*] sic AB pro *συνεστρ.* — §. 25. *δ᾽ αὖθις*] v. adn. — *ἀεί*] om. BDE. — *Ξενοφῶντι ἐμάχετο*] *Ξ. διεμάχετο* EL; *ξένων ἐμηχανᾶτο* ABD.

certiores quidem vos de hac re facientes.

§. 23. *ἀπὸ νουμηνίας*] a novilunio, h. e. ab ipso mensis initio. V. Sturz. L. X. T. I. p. 318. et nos in Gr. T. II. §. 598. a. 2. (Gr. schol. §. 288, 1.) Cf. §. 31.

Κυζικηνόν] Scil. *στατῆρα.* His aureis nummis *πρόςωπον ἦν γυναικὸς* (Cybelen esse coniicit Larcherus) *ὁ τύπος, ἐπὶ δὲ θατέρου προτομὴ λέοντος*, uti testantur Hesychius et Suidas. V. Sturz. l. d. T. II. p. 802. Idem pretium habuisse videntur, quod *δαρεικοί*, h. e. viginti drachmarum Atticarum argentearum (= 4 *Thaler* 14 *ggl.*). V. nos ad I, 1, 9. et quem ibi laudavimus Boeckhium *Staatshaush.* I. p. 25 sq. Nomen habebant a Cyzico, urbe Mysiae ad Propontidem sita.

ὑπάρξει ὑμῖν] V. ad I, 1, 4. De plurali *δέξονται* ad v. *πόλις* relato v. ad II, 1, 6.

§. 24. *τὰ μὲν — τὰ δέ*] Sic ABE pro *τῆς μὲν — τῆς δέ.* Recte illam scripturam Bornemannus tutatus est, monens vix dubitari posse, quin Pharnabazus Aeoliae, Phrygiae et Troadis fuisset satrapa, comp. Poppon. ad Thucyd. Vol. II. p. 432 sq.

Κλεάρχῳ] „Quum esset harmostes Byzantii (cf. ad II, 6, 1.) et fortasse etiam, postquam in Asia exsul cum exercitu oberrabat." SCHNEID.

Δερκυλλίδᾳ] „Quum esset Abydo praefectus." ID. „V. Thuc. VIII, 61 sq. et cave cogites de eiusdem Dercyllidae Thimbronis successoris in Pharnabazum expeditione Hellen. III, 1, 8 sqq. narrata, quae demum in Olymp. 95⅔ incidit." POPPO. Cod. A habet *Δερκυλίδα* una *λ*, uti apud Thucyd.; „sed Xenophon sibi constat in Hell. cumque eo facit Isocr. Pan. c. 40. In Diod. XIV, 38. al. vulgo quidem pariter *Δερκυλλίδας* exaratur, sed Clar. semper unum tantum *λ* repraesentat." ID.

§. 25. *Ἀναστὰς δ᾽ αὖθις*]

θοιεν ἐκ τοῦ Πόντου, ἔσεσθαι αὐτοῖς Χεῤῥόνησον χώραν καλὴν καὶ εὐδαίμονα, ὥςτε τῷ βουλομένῳ ἐνοικεῖν, τῷ δὲ μὴ βουλομένῳ ἀπιέναι οἴκαδε· γελοῖον δ' εἶναι ἐν τῇ Ἑλλάδι οὔσης χώρας πολλῆς καὶ ἀφθόνου ἐν τῇ βαρ-
26 βάρων μαστεύειν. Ἔςτε δ' ἄν, ἔφη, ἐκεῖ γένησθε, κἀγὼ καθάπερ Τιμασίων ὑπισχνοῦμαι ὑμῖν τὴν μισθοφορίαν. Ταῦτα δὲ ἔλεγεν εἰδώς, ἃ Τιμασίωνι οἱ Ἡρακλεῶται καὶ
27 οἱ Σινωπεῖς ὑπισχνοῦντο, ὥςτε ἐκπλεῖν. Ὁ δὲ Ξενοφῶν ἐν τούτῳ ἐσίγα. Ἀναστὰς δὲ Φιλήσιος καὶ Λύκων οἱ Ἀχαιοὶ ἔλεγον, ὡς δεινὸν εἴη ἰδίᾳ μὲν Ξενοφῶντα πείθειν τε καταμένειν καὶ θύεσθαι ὑπὲρ τῆς μονῆς μὴ κοινούμενον τῇ στρατιᾷ, εἰς δὲ τὸ κοινὸν μηδὲν ἀγορεύειν.

τῷ δὲ μὴ βουλομένῳ] μή om. ADE, ut in §. 20. Dind. laudat Wolfium ad Hist. Gr. I, 7, 28. — §. 26. μισθοφορίαν] v. adn. — ὑπισχνοῦντο] v. adn. — §. 27. κοινούμενον] sic ABD pro κοινοῦντο, v. ad §. 36. Verba μὴ κοιν.

Sic A pro ἀν. δὲ αὖθις; BDFG om. δέ, haud scio an recte; nam in ipso αὖθις latet vis quaedam oppositionis. D exhibet Ionicam formam αὖτις; cf. VII, 2, 25. var. scr. Cyrop. IV, 5, 56. Heiland. de dial. Xen. p. 18.

ὥςτε τῷ βουλομένῳ — ἀπιέναι] Ex vulgari dicendi ratione dicendum erat: ὥςτε τὸν βουλόμενον ἐνοικεῖν, τὸν δὲ μὴ βουλόμενον ἀπιέναι. Weiskius ad ὥςτε et sequentia ex antecedenti orationis membro repetendum putat ἔσεσθαι. Schneiderus omisso ὥςτε sic scribendum censet: τῷ μὲν βουλομένῳ — τῷ δὲ μὴ βουλομένῳ. At de omisso μέν v. ad III, 4, 7. Dativi sine dubio attractionis quodam genere ob antecedentem dativum αὐτοῖς positi sunt, uti dicitur ἀδύνατόν μοί ἐστιν, ὥςτε μὴ βουλομένῳ ἀπιέναι, v. nos in Gr. T. II. §. 645. et 825. not. 5. (Gr. schol. §. 307, 2.) De ὥςτε, quod ex abundanti additum videtur, cf. Cyrop. VIII, 2, 2: ἐγένετο αὐτῷ, ὥςτε χρήμασιν εὐεργετεῖν. Infra V, 6, 30. Plura dedimus in Gr. T. II. §. 639. not. 2.

ἀφθόνου] fertilis.

μαστεύειν] V. ad III, 1, 43.

§. 26. τὴν μισθοφορίαν] mercedem ad hoc iter necessariam. Infra VII, 6, 23: ἔδει τὰ ἐνέχυρα τότε λαβεῖν, pignora ad fidem confirmandam necessaria. V. nos in Gr. T. II. §. 484. b. (Gr. schol. §. 244, 3.) Scripsimus μισθοφορίαν cum ABD pro μισθοφοράν, quod ex §. 23. fluxisse videtur. Formam μισθοφορία etiam §. 35. A et B, §. 36. ABC, VI, 1, 16. μισθοφορίαν A et E, VII, 1, 3. ABE tuentur. Proprie μισθοφορά est merces, μισθοφορία ipsa opera mercenaria; saepe tamen alterum cum altero non solum a librariis, sed etiam ab ipsis scriptoribus confunditur, uti docuit Lobeckius in Parerg. ad Phrynich. p. 491 sq.

ὑπισχνοῦντο] Sic ABDEQ; ἐπαγγέλλοιντο HIKL; reliqui ἐπαγγέλοιντο. Born. coni. ἐπηγγέλοντο (de qua aoristi forma v. var. script. I, 4, 12.), Poppo ἐπηγγείλαντο. Optativus nullo modo ferri potest. Quod autem hic V. D. ὑπισχνοῦντο interpretis manum olere suspicatur,

περὶ τούτων· ὥςτε ἠναγκάσθη ὁ Ξενοφῶν ἀναστῆναι
καὶ εἰπεῖν τάδε· Ἐγώ, ὦ ἄνδρες, θύομαι μέν, ὡς ὁρᾶτε, 28
ὁπόσα δύναμαι καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ ἐμαυτοῦ, ὅπως
ταῦτα τυγχάνω καὶ λέγων καὶ νοῶν καὶ πράττων, ὁποῖα
μέλλει ὑμῖν τε κάλλιστα καὶ ἄριστα ἔσεσθαι καὶ ἐμοί.
Καὶ νῦν ἐθυόμην περὶ αὐτοῦ τούτου, εἰ ἄμεινον εἴη
ἄρχεσθαι λέγειν εἰς ὑμᾶς καὶ πράττειν περὶ τούτων, ἢ
παντάπασι μηδὲ ἅπτεσθαι τοῦ πράγματος. Σιλανὸς δέ 29
μοι ὁ μάντις ἀπεκρίνατο τὸ μὲν μέγιστον, τὰ ἱερὰ καλὰ
εἶναι· ᾔδει γὰρ καὶ ἐμὲ οὐκ ἄπειρον ὄντα διὰ τὸ ἀεὶ παρεῖναι τοῖς ἱεροῖς· ἔλεξε δέ, ὅτι ἐν τοῖς ἱεροῖς φαίνοιτό τις
δόλος καὶ ἐπιβουλὴ ἐμοί, ὡς ἄρα γινώσκων, ὅτι αὐτὸς

τῇ στρ. Krüg. pro glossemate vocabuli ἰδίᾳ habet, quod non probo. — τὸ κοινόν] sic ABEH pro κοινόν. — §. 29. ᾔδει] v. adn. — ὡς] sic ABDE pro ὀρθῶς. — γινώσκων] sic AB IL pro γιγν., v. §. 6.

mihi quidem contrarium videtur. Facile glossator aliquis repetito post brevem verborum intercapedinem eodem vocabulo offensus in eius locum substituere potuerit verbum ἐπαγγέλλεσθαι, quod eo magis in promptu erat, quod, uti ex Thoma Magistro p. 312. ed. Iacobitz. videmus, verbum ἐπαγγέλλεσθαι verbo ὑπισχνεῖσθαι explicatur. Vehementer errabunt, si qui usquequaque exquisitiora et rariora vocabula germana, vulgaria et trita eorum interpretamenta censebunt. Cf. supra V, 5, 25. φιλικά et ἐπιτήδεια in codd. permixta.

ὥςτε ἐκπλεῖν] H. e. ita (ea conditione), ut enavigaretis. V. adnotata in II, 6, 6.

§. 27. εἰς — τὸ κοινόν] publice, in consilio publico; εἰς dictum est uti §. 28. λέγειν εἰς ὑμᾶς, coram vobis. V. nos in Gr. T. II. §. 603. d. (Gr. schol. §. 290. d.) De v. τὸ κοινόν cf. infra V, 7, 17.

§. 28. πράττειν περὶ τούτων] agere de his rebus, quae et vobis et mihi salutares videbantur. Cf. infra VII, 2, 12.

§. 29. τὸ μὲν μέγιστον] quod maximi momenti erat. V. ad I, 3, 10.

ᾔδει] A habet ἤδη i. e. ᾔδη, quod recepit Schneiderus et retinuit Bornemannus. Negari quidem non potest, etiam aliis Xenophontis locis huius Atticae formae vestigia in codicibus reperiri; at nullus invenitur locus, in quo haec forma firmissima nitatur auctoritate. In Anabasis quidem libris praeter hunc locum nulla eius vestigia sunt; nam quod supra III, 1, 20. Schneiderus ὅρκους ᾔδη κατέχοντας pro ἤδη legendum coniecit, id nullius momenti est. Cyrop. V, 1, 1. ᾔδη in nonnullis edd. vett. legitur, ibid. VIII, 1, 13. ἤδη (i. e. ᾔδη) est in Vat., 2, 25. ᾔδη in nonnullis edd. vett.

ἐπιβουλὴ ἐμοί] insidiae mihi structae. Ἐπιβουλὴ ἐμοὶ φαίνεται est idem, quod φανερῶς ἐπιβουλεύομαι.

ὡς ἄρα γινώσκων] ut qui nimirum rem cognitam haberet, *natürlich wissend.* De ironico ἄρα v. ad IV, 6, 15.

ἐπεβούλευε διαβάλλειν με πρὸς ὑμᾶς. Ἐξήνεγκε γὰρ τὸν λόγον, ὡς ἐγὼ πράττειν ταῦτα διανοοίμην ἤδη οὐ πείσας
30 ὑμᾶς. Ἐγὼ δέ, εἰ μὲν ἑώρων ἀποροῦντας ὑμᾶς, τοῦτ' ἂν ἐσκόπουν, ἀφ' οὗ ἂν γένοιτο, ὥστε λαβόντας ὑμᾶς πόλιν τὸν μὲν βουλόμενον ἀποπλεῖν ἤδη, τὸν δὲ μὴ βουλόμενον, ἐπεὶ κτήσαιτο ἱκανά, ὥστε καὶ τοὺς ἑαυτοῦ οἰ-
31 κείους ὠφελῆσαί τι. Ἐπεὶ δὲ ὁρῶ ὑμῖν καὶ τὰ πλοῖα πέμποντας Ἡρακλεώτας καὶ Σινωπεῖς, ὥστε ἐκπλεῖν, καὶ μισθὸν ὑπισχνουμένους ὑμῖν ἄνδρας ἀπὸ νουμηνίας, καλόν μοι δοκεῖ εἶναι σωζομένους, ἔνθα βουλόμεθα, μισθὸν τῆς σωτηρίας λαμβάνειν· καὶ αὐτός τε παύομαι ἐκείνης τῆς διανοίας καί, ὁπόσοι πρὸς ἐμὲ προσῄεσαν, λέγοντες, ὡς χρὴ ταῦτα πράττειν, ἀναπαύσασθαί φημι

§. 30. *ἑώρων ἀπορ. ὑμᾶς*] sic AB pro *ἀπορ. ὑμ. ἑώρων.* — §. 31. *καί*] om. B. — *ὥστε ἐκπλεῖν*] sic ABDFGIK et Q (sed hic *ὡς ἐκπλεῖν*); in EN haec post *ὑμῖν* posita sunt; iniuria Zeun. et Krüg. ex §. 26. addita censent. — *ἄνδρας*] vid. adn. — *σωτηρίας*] *πορείας* BN; *πορίας* Q; *ἀπορίας* A C D E F G O, v. adn. — *παύομαι*] sic A B pro *ἀναπαύομαι.* — *πρὸς ἐμέ*] sic AB pro *μέ*; v. ad III, 3, 2. — *ἀναπαύσασθαι*] *ἀναπαύσεσθαι* A B; *ἀναπαύεσθαι* al.; Dind. e coni. *παύεσθαι*, v. ad IV, 2, 4.; si quid mutandum, magis placet *ἀποπαύεσθαι.* — §. 32. *γινώσκω*] Dind. contra codd. *γίγν.*, v. ad §. 6. — *ὁμοῦ μέν*] sic ABE pro *ὁμοῦ μὲν γάρ*; utrumque recte

ἐπεβούλευε διαβάλλειν με] insidiose cogitabat me calumniari. V. Sturz. L. X. T. II. p. 270. et Herbstium ad Conviv. IV, 62: *αἰσθάνομαι γάρ τινας ἐπιβουλεύοντας διαφθεῖραι αὐτόν.*

§. 30. *εἰ — ἑώρων —, τοῦτ' ἂν ἐσκόπουν, ἀφ' οὗ ἂν γένοιτο, ὥστε — ἀποπλεῖν*] si — vidissem, id mecum perpendissem, unde fieri posset, ut enavigaretis. De imperfectis *ἑώρων* et *ἐσκόπουν* v. nos ad Commentar. I, 1, 5: *Ἐδόκει δ' ἂν ἀμφότερα ταῦτα, εἰ — ἐφαίνετο*, et in Gr. T. II. §. 820. not. 1. (Gr. schol. §. 339, 2. I. b. p. 483.) Scriptor mente ad id ipsum redit, quo res fiebat. Infra VII, 6, 33. V, 8, 13: *εἰ δὲ τοῦτο πάντες ἐποιοῦμεν, ἅπαντες ἂν ἀπωλόμεθα*, si id faceremus, omnes perissemus: ubi observanda sunt imperfectum et aoristus iuncta, quorum illud repetitionem actionis, hic simplicem actionem notat. Cf. Agesil. IV, 4., ubi v. Breitenbach. De *ὥστε* v. ad §. 25.

ὑμᾶς — τὸν μὲν — τὸν δέ] V. ad I, 7, 15.

§. 31. *πέμποντας*] V. ad IV, 5, 8.

ἄνδρας] ABEN *ὦ ἄνδρες*, quod dubitari non potest quin a manu emendatrice profectum sit; *ἄνδρας* pro *τινάς* dictum est. Cf. VI, 4, 8. Intelligendi sunt Timasio et Thorax, v. §. 23. et 26.

σωζομένους] Scil. *ἡμᾶς*, quod ex tota oratione facile cogitatione suppletur.

ἔνθα βουλόμεθα] quo volumus scil. *σώζεσθαι*. Cf. V, 7, 6. De *ἔνθα* v. ad II, 3, 19.

χρῆναι. Οὕτω γὰρ γινώσκω· ὁμοῦ μὲν ὄντες πολλοί, 32
ὥσπερ νυνί, δοκεῖτε ἄν μοι καὶ ἔντιμοι εἶναι καὶ ἔχειν τὰ ἐπιτήδεια· ἐν γὰρ τῷ κρατεῖν ἐστι καὶ τὸ λαμβάνειν τὰ τῶν ἡττόνων· διασπασθέντες δ' ἂν καὶ κατὰ μικρὰ γενομένης τῆς δυνάμεως οὔτ' ἂν τροφὴν δύναισθε λαμβάνειν, οὔτε χαίροντες ἂν ἀπαλλάξαιτε. Δοκεῖ οὖν μοι 33
ἅπερ ὑμῖν, ἐκπορεύεσθαι εἰς τὴν Ἑλλάδα, καὶ ἐάν τις μείνῃ ἢ ἀπολιπὼν ληφθῇ, πρὶν ἐν ἀσφαλεῖ εἶναι πᾶν τὸ στράτευμα, κρίνεσθαι αὐτὸν ὡς ἀδικοῦντα. Καὶ ὅτῳ δοκεῖ, ἔφη, ταῦτα, ἀράτω τὴν χεῖρα. Ἀνέτειναν ἅπαντες.

Ὁ δὲ Σιλανὸς ἐβόα καὶ ἐπεχείρει λέγειν, ὡς δίκαιον 34
εἴη ἀπιέναι τὸν βουλόμενον. Οἱ δὲ στρατιῶται οὐκ ἠνεί-

se habet. — ἡττόνων] sic ABEIK pro ἡττωμένων. — δ' ἄν] sic ABE pro δέ. — δύναισθε] sic DE; δύνασθε B; δύνασθαι A; δυναίμεθα Ald.; reliqui δυνάμεθα. — ἀπαλλάξαιτε] sic Steph.; ἀπαλλάξετε ABE; reliqui ἀπαλλάξητε. Licet indicativus futuri cum ἄν iunctus reiiciendus non sit (v. ad II, 5, 13.), tamen ab h. l. ob antec. δύναισθε alienus est. — §. 33. μοι] om. AB. — ἐάν] sic AB pro ἄν. — μείνῃ ἤ] ABEN μέν τι, unde Hutch. coni. ἐάν τις μέντοι ἀπολ. — ἀπολιπὼν ληφθῇ] sic ABEN pro ἀπολιπών τινα ληφθῇ. — ἀράτω] sic ADEQ pro αἰρέτω. — ἅπαντες] sic AB pro πάντες.

μισθὸν τῆς σωτηρίας λαμβάνειν] Elegantissime dictum est per irrisionem quandam; nam si quis ab altero servatur, non accipit mercedem salutis, sed dat. Cf. infra VII, 6, 30: μισθὸν προσετέλει τῆς ἀσφαλείας, mercedem adeo addebat vobis pro securitate, quam vobis paravit. Consimili orationis lepore Xenophon in Commentar. II, 6, 4. dicit εὖ δὲ πάσχων ἀνέχεται (*sich Wohlthaten gefallen läſst*), ubi v. adnotata nostra, et infra V, 8, 13: ὅσοις σώζεσθαι μὲν ἤρκει δι' ὑμᾶς, *die es sich wohl gefallen lieſsen, durch euch gerettet zu werden.* Hanc autem ipsam orationis elegantiam h. l. scripturae corruptelam attulisse, non est, quod miremur. V. var. scr.

§. 32. διασπασθέντες δ' ἂν καὶ — γενομένης τῆς δυνάμεως οὔτ' ἂν — δύναισθε] De participio et genitivis absolutis per καί consociatis v. ad I, 1, 7. et de repetito ἄν ad I, 3, 6.

οὔτε χαίροντες ἂν ἀπαλλάξαιτε] neque impune abibitis. De χαίροντες v. Hermannum ad Viger. p. 766 sq. et Pflugkium ad Eur. Herc. F. 258.; de verbo ἀπαλλάττειν intransitive (abire, discedere, *davon kommen*) dicto v. nos ad Commentar. I, 7, 3: καὶ αὐτὸς αἰσχρῶς τε καὶ κακῶς ἀπαλλάξειεν.

§. 33. ἐάν τις μείνῃ ἢ ἀπολιπὼν ληφθῇ] si quis maneat aut nos reliquisse (deseruisse) convincatur.

Ἀνέτειναν] De asyndeto v. ad III, 2, 33.

§. 34. οὐκ ἠνείχοντο] se

χοντο, ἀλλ' ἠπείλουν αὐτῷ, ὅτι, εἰ λήψονται ἀποδιδρά-
35 σκοντα, τὴν δίκην ἐπιθήσοιεν. Ἐντεῦθεν, ἐπεὶ ἔγνωσαν
οἱ Ἡρακλεῶται, ὅτι ἐκπλεῖν δεδογμένον εἴη, καὶ Ξενο-
φῶν αὐτὸς ἐπεψηφικὼς εἴη, τὰ μὲν πλοῖα πέμπουσι, τὰ
δὲ χρήματα, ἃ ὑπέσχοντο Τιμασίωνι καὶ Θώρακι, ἐψευ-
36 σμένοι ἦσαν τῆς μισθοφορίας. Ἐνταῦθα δὲ ἐκπεπληγμέ-
νοι ἦσαν καὶ ἐδεδοίκεσαν τὴν στρατιὰν οἱ τὴν μισθοφορίαν
ὑπεσχημένοι. Παραλαβόντες οὖν οὗτοι καὶ τοὺς ἄλλους

§. 34. ὅτι] v. adn. — §. 35. μισθοφορίας] sic AB pro μισθοφορᾶς, v. ad §. 26. — §. 36. δέ] addunt ABC. — ἐδεδοίκεσαν] v. adn. — οἱ τήν] om. A. — μισθοφορίαν] sic ABC pro μισθοφοράν. — Παραλαβόντες οὖν] sic ABE pro καὶ παραλ. — ἀνεκεκοίνωντο] sic FGIKL; ἀνακεκοίνωντο H; ἀνεκοινῶντο AC; ἀνεκοινοῦντο B; reliqui ἀνεκεκοίνωτο. — παν-

continere non poterant. V. ad I, 8, 26.

ἠπείλουν —, ὅτι, εἰ λήψονται —, ἐπιθήσοιεν] Rectae orationis forma cum obliquae confusa est. V. ad I, 3, 14. Vocabulum ὅτι auctore Dindorfio cum A et B ante εἰ transposui, quum in reliquis codd. locum suum habeat ante v. τὴν δίκην ἐπιθ. Feci id auctoritate codicum motus, non ignorans alterum verborum ordinem et exquisitiorem esse et aliis quoque locis a Xen. delectum, uti I, 6, 2: εἶπεν, εἰ αὐτῷ δοίη ἱππέας χιλίους, ὅτι — κατακάνοι ἄν. II, 2, 20. V, 7, 7: λέγεται, ὅταν ὁ βοῤῥᾶς πνέῃ, ὡς καλοὶ πλοῖ εἰσιν εἰς τὴν Ἑλλάδα. Quibus Bornemannus addit Popponem de Eloc. Thuc. p. 303.

τὴν δίκην] iustam, meritam poenam. V. ad I, 3, 20.

§. 35. ἐπεψηφικώς] V. ad V, 1, 14.

ἐψευσμένοι ἦσαν τῆς μισθοφορίας] Genitivi pendent a verbis τὰ δὲ χρήματα, pecunias stipendii, quas — promiserant, mentiti erant, h. e. de pecuniis fidem fefellerant. Sic saepe ψεύδεσθαί τι, Cyrop. V, 2, 10: οὔτε συνθήκας ἂν ψευδοίμην. Cf. Breitenb. ad Ages. I, 11. Verba τῆς μισθοφορίας alieno loco posita Hutchinsonus et Krügerus ex interpretamento irrepsisse censent; Bornemannus et Poppo opponunt IV, 3, 1: ἀπεῖχε δὲ τῶν ὀρέων ὁ ποταμὸς ὡς ἓξ ἢ ἑπτὰ στάδια τῶν Καρδούχων, ubi v. adnotata nostra.

§ 36. ἐκπεπληγμένοι ἦσαν] Scil. Timasio et Thorax, qui, ab Heracleotis et Sinopensibus permoti, stipendia militibus promiserant.

ἐδεδοίκεσαν] Sic Bornemannus et Dindorfius ediderunt ex optimo A, qui exhibet ἐδεδείκεσαν; ceteri omnes codd. praeferunt ἐδεδίεσαν contra praeceptum Phrynichi p. 180. ed. Lob.: Ἐδεδίεσαν καὶ τοῦτο τῆς Λολλιανοῦ μούσης· σὺ δὲ λέγε τετρασυλλάβως ἄνευ τοῦ ε ἐδέδισαν, ubi v. Lobeckium. Formam ἐδεδοίκεσαν legimus supra III, 5, 18. Ceterum ne alteram quidem formam ἐδεδίεσαν respuendam esse docent Xen. Hellen. IV, 4, 16. Thucyd. IV, 55. et V, 14., in quibus locis omnes codd. eam praebent; etiam IV, 117. Casselanus et F dant ἐδεδίεσαν pro ἔδεισαν, quanquam Poppo (v. eum in var. script. IV, 55.) ubivis ἐδέδισαν praeferri mavult. Veterum grammaticorum praecepta saepenu-

στρατηγούς, οἷς ἀνεκεκοίνωντο, ἃ πρόσθεν ἔπραττον (πάντες δ' ἦσαν πλὴν Νέωνος τοῦ Ἀσιναίου, ὃς Χειρισόφῳ ὑπεστρατήγει, Χειρίσοφος δὲ οὔπω παρῆν), ἔρχονται πρὸς Ξενοφῶντα καὶ λέγουσιν, ὅτι μεταμέλοι αὐτοῖς καὶ δοκοίη κράτιστον εἶναι πλεῖν εἰς Φᾶσιν, ἐπεὶ πλοῖα ἔστι, καὶ κατασχεῖν τὴν Φασιανῶν χώραν. Αἰήτου δὲ ὑϊ- 37
δοῦς ἐτύγχανε βασιλεύων αὐτῶν. Ξενοφῶν δὲ ἀπεκρίνατο, ὅτι οὐδὲν ἂν τούτων εἴποι εἰς τὴν στρατιάν· ὑμεῖς

τες] sic ABC pro ἅπαντες. — Νέωνος] Μένωνος ACD. — Ἀσιναίου] v. adn. — οὔπω] EQ; οὕτω AC; reliqui οὐ. — μεταμέλοι] μεταμελοίη ABC, sine dubio ex antec. δοκοίη; μεταμέλει FGIK. — πλοῖα ἔστι] v. adn. — §. 37. ὑϊδοῦς] v. adn. — ὅτι] om. BC.

mero levi auctoritate niti multis iam locis vidimus.

Παραλαβόντες — τοὺς ἄλλους στρατηγούς] assumptis in societatem ceteris ducibus. Cf. VII, 2, 17. et 20. De seq. verbo *ἀνακοινοῦσθαι* v. ad III, 1, 5.

Ἀσιναίου] Deteriores codd. habent *Ἀσινέως*. Stephanus Byz.: *τὸ ἐθνικὸν Ἀσιναῖος, καὶ Ἀσινεὺς κακῶς*. Asine fuit oppidum Laconiae (v. ad V, 3, 4.); hinc infra VII, 2, 29. Neo *Λακωνικὸς* audit.

λέγουσιν, ὅτι μεταμέλοι — καὶ δοκοίη] V. ad I, 1, 3.

Φᾶσιν] Intelligendus est h. l. Colchicus Phasis (hodie *Rion*), non ille, qui supra IV, 6, 4. commemoratus est.

πλοῖα ἔστι] Recte post *πλοῖα* Schneiderus, Dindorfius, Born, Poppo eliminaverunt *ἐκεῖ*, quod abest a tribus optimae notae codicibus ABC; Martinus legendum coniicit *πλοῖα ἔχειν ἔστι*, at §. 35. navigia iam ab Heracleotis missa commemorantur; Krügerus in comm. de auth. p. 55. *ἐκεῖ* retinendum et de Cotyoris intelligendum censet; at haec relatio hoc quidem loco nullo pacto admittenda est. Quanquam pro *ἔστι* commodius *πάρεστι* dictum fuisse, ut §. 20, negari non potest.

§. 37. *Αἰήτου δὲ ὑϊδοῦς*] „Strabo I, 2. p. 71 sq.: *ὁ Αἰήτης* (fabulosus ille Medeae pater) *πεπίστευται βασιλεῦσαι τῆς Κολχίδος καὶ ἔστι τοῖς ἐκεῖ τοῦτ' ἐπιχώριον τοὔνομα*. Itaque mirus esset Xen. avi, non ipsius nomine regulum appellans, nisi statuere liceret, tunc apud Graecos hunc Aeeten in vulgus notum fuisse." KRÜGERUS, qui idem pro *υἱδοῦς* recte in ed. min. scripsit *ὑϊδοῦς*. Veteres grammatici docent, ubicunque apud Atticos diphthongus *υι* inveniatur, sequi vocalem, quanquam hanc opinionem grammaticorum commentum esse demonstrare studuit G. Hermannus in Opusc. Vol. III. p. 71 sq. V. nos ad Comment. I, 2, 30. in var. scr. Veram scripturam servavit A, qui exhibet *υιδοῦς* (i. e. *ὑϊδοῦς*); BDN habent *υἱιδοῦς*; Ald. *υἱῶς*; reliqui *υἱός*. Ceterum *ὑϊδοῦς* h. l. omnino pro *ἐκγόνῳ* accipiendum videtur.

εἴποι εἰς τὴν στρατιάν] V. ad §. 27.

ὑμεῖς δέ κτλ.] De obliquae orationis in rectam transitu v. ad I, 3, 14.

δὲ ξυλλέξαντες, ἔφη, εἰ βούλεσθε, λέγετε. Ἐνταῦθα ἀποδείκνυται Τιμασίων ὁ Δαρδανεὺς γνώμην οὐκ ἐκκλησιάζειν, ἀλλὰ τοὺς αὐτοῦ ἕκαστον λοχαγοὺς πρῶτον πειρᾶσθαι πείθειν. Καὶ ἀπελθόντες ταῦτ' ἐποίουν.

1 VII. Ταῦτα οὖν οἱ στρατιῶται ἀνεπύθοντο τὰ πραττόμενα. Καὶ ὁ Νέων λέγει, ὡς Ξενοφῶν ἀναπεπεικὼς τοὺς ἄλλους στρατηγοὺς διανοεῖται ἄγειν τοὺς στρατιώ-
2 τας ἐξαπατήσας πάλιν εἰς Φᾶσιν. Ἀκούσαντες δ' οἱ στρατιῶται χαλεπῶς ἔφερον· καὶ ξύλλογοι ἐγίγνοντο, καὶ κύκλοι ξυνίσταντο, καὶ μάλα φοβεροὶ ἦσαν, μὴ ποιήσειαν, οἷα καὶ τοὺς τῶν Κόλχων κήρυκας ἐποίησαν καὶ τοὺς ἀγορανόμους· ὅσοι γὰρ μὴ εἰς τὴν θάλατταν κατέφυγον,
3 κατελεύσθησαν. Ἐπεὶ δὲ ᾐσθάνετο Ξενοφῶν, ἔδοξεν αὐτῷ ὡς τάχιστα ξυναγαγεῖν αὐτῶν ἀγορὰν καὶ μὴ ἐᾶσαι ξυλλεγῆναι αὐτομάτους· καὶ ἐκέλευσε τὸν κήρυκα ξυλ-

ξυλλ.] sic A pro συλλ. — οὐκ] v. adn. — αὐτοῦ] sic B; αὐτοῦ A; αὐτούς O; reliqui ἑαυτοῦ. — πρῶτον] sic ABC pro πρώτους. — πείθειν] sic ABCDE pro πεῖσαι.

Cap. VII. §. 1. Ταῦτα οὖν οἱ στρ. ἀνεπ. τὰ πρ.] sic ABE (sed hic om. οἱ) pro Οἱ δὲ στρ. ἀνεπ. ταῦτα πρ. Born. et Dind. ediderunt idem, quod nos, sed ille τά uncis sepsit, hic plane exterminavit, vereor, ut recte; nam pronomen οὗτος saepe multis interiectis vocabulis a suo substantivo divellitur. — τοὺς στρ. ἐξαπατήσας] sic AB pro ἐξ. τ. στρ. — §. 2. ξύλλ. — ξυνίστ.] sic AB pro σύλλ. — συνίστ., v. ad II, 1, 17. — §. 3.

ἀποδείκνυται — γνώμην] V. ad V, 2, 9.

οὐκ ἐκκλησιάζειν] Sic ABCE; reliqui habent μή; utrumque aptum: μή, ne concionem convocarent; οὐκ, se nolle convocare concionem.

Cap. VII. §. 1. ἀνεπύθοντο] V. ad V, 5, 25.

πάλιν εἰς Φᾶσιν] „Itaque Neo hunc Phasin eundem putabat vel se putare simulabat, quem IV, 6, 4. cognovimus." KRÜG.

§. 2. φοβεροὶ ἦσαν, μή] timendi erant, h. e. timorem Xenophonti incutiebant, ne. V. Sturz. L. X. T. IV. p. 480. Hier. VI, 15: φοβερὸς δέ, μὴ ἀνήκεστόν τι ποιήσῃ, ubi v. Breitenbach. Apte Hertlin. comp. Herod. I, 155: οὐδὲν δεινοί τοι ἔσονται, μὴ ἀποστέωσι. Cf. supra ad V, 2, 26: δῆλοι ἦσαν, ὅτι.

οἷα καὶ τοὺς τῶν Κόλχων κτλ.] „Nihil de Colchorum legatis aut de eis, quae hic adiiciuntur, supra me legere memini. Referenda igitur haec videntur ad ea, quae narrantur §. 13—25. Sed hoc praeposterum, ut vel Xenophonti vel librariis aliquid imputari possit." WEISK. „Hanc, si qua est, Xenophontis culpam esse inde patet, quod l. l. hanc rem tam copiose narrat, ac si eam omnino nondum commemoraverit. Quodsi autem de ea exposuisset, repetitionem evitare non potuisset. Excusabit auctorem Horatius (ad Pison. 42.): Ordinis haec virtus erit et venus, aut ego fallor, Ut iam nunc dicat iam nunc de-

λέγειν ἀγοράν. Οἱ δ' ἐπεὶ τοῦ κήρυκος ἤκουσαν, ξυνέδραμον καὶ μάλα ἑτοίμως. Ἐνταῦθα Ξενοφῶν τῶν μὲν στρατηγῶν οὐ κατηγόρει, ὅτι ἦλθον πρὸς αὐτόν, λέγει δὲ ὧδε· 4

Ἀκούω τινὰ διαβάλλειν, ὦ ἄνδρες, ἐμέ, ὡς ἐγὼ ἄρα ἐξαπατήσας ὑμᾶς μέλλω ἄγειν εἰς Φᾶσιν. Ἀκούσατε οὖν μου πρὸς θεῶν· καὶ ἐὰν μὲν ἐγὼ φαίνωμαι ἀδικεῖν, οὐ χρή με ἐνθένδε ἀπελθεῖν, πρὶν ἂν δῶ δίκην· ἂν δ' ὑμῖν φαίνωνται ἀδικοῦντες οἱ ἐμὲ διαβάλλοντες, οὕτως αὐτοῖς χρῆσθε, ὥςπερ ἄξιον. 5 Ὑμεῖς δ', ἔφη, ἴστε δήπου, 6 ὅθεν ἥλιος ἀνίσχει καὶ ὅπου δύεται· καὶ ὅτι, ἐὰν μέν τις εἰς τὴν Ἑλλάδα μέλλῃ ἰέναι, πρὸς ἑσπέραν δεῖ πορεύεσθαι· ἣν δέ τις βούληται εἰς τοὺς βαρβάρους, τοὔμπαλιν πρὸς ἕω. Ἔστιν οὖν ὅςτις τοῦτο ἂν δύναιτο ὑμᾶς

Ξενοφῶν] sic ABE pro ὁ Ξ. — ξυναγ. — ξυλλεγῆναι — ξυλλέγειν] sic AB pro συναγ. — συλλεγῆναι — συλλέξαι (E habet συλλέγειν). — αὐτῶν ἀγοράν] ἀγ. αὐτῶν A. — §. 4. ξυνέδρ.] sic AB pro συνέδρ. — §. 5. ἀδικεῖν] v. adn. — δῶ δίκην] sic AB pro δῶ τὴν δ., v. ad I, 3, 20. — χρῆσθε] χρῆσθαι ABL. — §. 6. δ' ἔφη ἴστε] sic A; δὲ εὖ ἴστε BN; δ' ἐφῆσθε D; reliqui ἐπίστασθε. — ὅθεν] sic ADE pro ὁπόθεν. — ἥλιος] sic hic et infra AB pro ὁ ἥλ., v. ad I, 10, 15. — ὅπου] sic AB pro ὅποι. — ἣν] sic AB pro ἐάν. — ἂν δύναιτο] sic AB pro δύναιτ' ἄν. — ὑμᾶς] ἡμᾶς A.

bentia dici, Pleraque differat et praesens in tempus omittat." KRÜGERUS de auth. p. 30.

§. 3. ἀγοράν] Hoc vocabulum notione ἐκκλησίας dictum apud Xenophontem alias non legitur, neque omnino apud Atticos scriptores frequens est. Krügerus affert Aeschin. c. Ctes. p. 421. φυλῶν ἀγοράν et quod saepius in inscriptt. legitur δημοτῶν ἀγοράς, comp. Lexx. Segg. p. 210, 9. Ex Homero hic usus repetitus videtur. V. Heiland. de dial. Xen. p. 17.

§. 4. ὅτι ἦλθον πρὸς αὐτόν] quod ad se (Xenophontem) venissent et terrae Phasianae occupandae consilium inissent. V. c. 6, 36.

§. 5. Ἀκούω τινὰ διαβάλλειν] V. ad II, 5, 13.

ὡς ἐγὼ ἄρα] De ἄρα explicativo v. nos in Gr. T. II. §. 757. a. (Gr. schol. §. 324, 3. a.) Indicativus μέλλω positus est, quasi milites ipsi loquentes inducti sint.

δὲ λόγοι ἦσαν αὐτοῖς, ὡς αἰσχρὸν εἴη ἄρχειν ἕνα Ἀθη-
ναῖον Πελοποννησίων καὶ Λακεδαιμονίων, μηδεμίαν δύ-
ναμιν παρεχόμενον εἰς τὴν στρατιάν· καὶ τοὺς μὲν πό-
νους σφᾶς ἔχειν, τὰ δὲ κέρδη ἄλλους, καὶ ταῦτα τὴν
σωτηρίαν σφῶν κατειργασμένων· εἶναι γὰρ τοὺς κατειρ-
γασμένους Ἀρκάδας καὶ Ἀχαιούς, τὸ δ' ἄλλο στράτευμα
οὐδὲν εἶναι. Καὶ ἦν δὲ τῇ ἀληθείᾳ ὑπὲρ ἥμισυ τοῦ
11 ὅλου στρατεύματος Ἀρκάδες καὶ Ἀχαιοί. Εἰ οὖν σω-
φρονοῖεν, αὐτοὶ συστάντες καὶ λοχαγοὺς ἑλόμενοι ἑαυ-
τῶν καθ' ἑαυτοὺς ἂν τὴν πορείαν ποιοῖντο καὶ πειρῷντο

§. 10. ἕνα] om. AB; facile inter ἈΡΧΕΙΝ et ἈΘ. excidere potuit. — Πελοποννησίων] Πελοπονησ. BD, v. var. scr. I, 4, 2. — κέρδη] κέρδεα A. — ὅλου] sic B; om. A; reliqui ἄλλου. — §. 11. αὐτοί] sic AB pro οὗτοι: quod si legitur, di-

ἐφαίνετο] Observa elegantem temporum varietatem. Aoristus notat rem primariam, imperfectum συνῆγον secundariam (v. ad I, 3, 3.); cum magna vi insertum est plusquamperfectum ad rem notandam summa celeritate peractam (*und schon waren die Thore verschlossen*); actionis, quae alteram sequebatur aut una cum ea fiebat, confectio anticipatur. V. nos ad Commentar. II, 9, 5. — Τὴν ἀγορὰν εἴσω ἀνασκευάσαι est venalia colligere et (ex agris, ubi Graecis venum exposita erant) in urbem transferre.

§. 9. οἱ ταράξαντες ταῦτα] qui has res turbaverant aut qui has turbas excitaverant. De infinitivo praesentis διαφθείρειν v. ad I, 4, 12.

συνίσταντο] seditiose coibant, uti Cyrop. I, 1, 2. ἀγέλην — συστᾶσαν ἐπὶ τὸν νομέα et paullo post: ἄνθρωποι δὲ ἐπ' οὐδένας μᾶλλον συνίστανται ἢ ἐπὶ τούτους, οὓς ἂν αἴσθωνται ἄρχειν αὐτῶν ἐπιχειροῦντας.

§. 10. ἕνα Ἀθ.] „Xenophontem, quem non nomine, sed re imperium tenere tacite criminabantur." WEISK.

Πελοποννησίων καὶ Λακεδαιμονίων] Lacedaemonii, etsi ipsi quoque Peloponnesii erant, tamen ut primaria eorum gens nominatim adduntur.

μηδεμίαν δύναμιν παρεχόμενον εἰς τὴν στρατιάν] etsi nullas copias suis sumptibus ad exercitum praeberet; de vi medii v. nos in Gr. T. II. §. 395. α. (Gr. schol. §. 250, 1. a.)

καὶ ταῦτα — σφῶν κατειργασμένων] etsi ipsi salutem paravissent. V. ad II, 4, 15.

Καὶ ἦν δέ] Et vero etiam erat. V. ad I, 1, 2.

ὑπὲρ ἥμισυ] Iniuria Schneiderum articulum requirere docent interpretes laudato Heindorfio ad Platon. Phaedon. §. 104. p.

ἀγαθόν τι λαμβάνειν. Ταῦτα ἔδοξε· καὶ ἀπολιπόντες 12
Χειρίσοφον, εἴ τινες ἦσαν παρ' αὐτῷ, Ἀρκάδες ἢ Ἀχαιοὶ
καὶ Ξενοφῶντα συνέστησαν καὶ λοχαγοὺς αἱροῦνται
ἑαυτῶν δέκα· τούτους δὲ ἐψηφίσαντο ἐκ τῆς νικώσης,
ὅ τι δοκοίη, τοῦτο ποιεῖν. Ἡ μὲν οὖν τοῦ παντὸς ἀρχὴ
Χειρισόφῳ ἐνταῦθα κατελύθη ἡμέρᾳ ἕκτῃ ἢ ἑβδόμῃ,
ἀφ' ἧς ᾑρέθη.

Ξενοφῶν μέντοι ἐβούλετο κοινῇ μετ' αὐτῶν τὴν 13
πορείαν ποιεῖσθαι νομίζων οὕτως ἀσφαλεστέραν εἶναι ἢ
ἰδίᾳ ἕκαστον στέλλεσθαι· ἀλλὰ Νέων ἔπειθεν αὐτὸν
καθ' αὑτὸν πορεύεσθαι ἀκούσας τοῦ Χειρισόφου, ὅτι
Κλέανδρος, ὁ ἐν Βυζαντίῳ ἁρμοστής, φαίη τριήρεις
ἔχων ἥξειν εἰς Κάλπης λιμένα· ὅπως οὖν μηδεὶς μετά- 14
σχοι, ἀλλ' αὐτοὶ καὶ οἱ αὑτῶν στρατιῶται ἐκπλεύσειαν

stinctio post σωφρονοῖεν ponenda est. — λοχαγούς] v. adn. — ἑαυτοὺς ἄν] sic ABEHL pro ἑαυτούς τε ἄν. — §. 13. μετ' αὐτῶν] v. adn. — ἀσφαλεστέραν] sic AB pro ἀσφαλέστερον. — καθ' αὑτόν] sic AB pro καθ' ἑαυτόν.

176. et comparatis Cyrop. III, 3, 47: εἰ μὴ ὑπὲρ ἥμισυ αὐτῶν ἔσονται οἱ ἡττηθέντες. Hellen. IV, 3, 15: σὺν Ἀγησιλάῳ (ἦν) — ἥμισυ μόρας τῆς ἐξ Ὀρχομενοῦ. Thuc. VIII, 68. ὑπὲρ ἥμισυ τοῦ χρόνου τούτου.

§. 11. λοχαγούς] Hanc scripturam, quam optimorum codicum ABDEN auctoritas tuetur, recepi pro στρατηγούς, quod sine dubio originem suam debet sequenti paragrapho. Nam, uti Krügerus docet, apud Arcades nova exercitus distributione facta nomina λοχαγῶν ac στρατηγῶν eandem vim habebant, et λόχος cuiusque στρατηγοῦ appellabatur μέρος. V. VI, 4, 23. Cf. VI, 3, 4. τῷ Σμίκρητος λόχῳ, ἑνὸς τῶν Ἀρκάδων στρατηγῶν. 5. ἄλλου δὲ λόχου τῶν δέκα στρατηγῶν. 6. καὶ οἱ ἄλλοι δὲ λοχαγοὶ συνῆλθον.

πειρῷντο] Ob obliquam orationem exspectes ποιεῖσθαι καὶ πειρᾶσθαι ἄν; at v. ad IV, 6, 13.

§. 12. εἴ τινες ἦσαν] V. ad V, 3, 3. De seq. ἐκ τῆς νικώσης v. ad VI, 1, 18.

§. 13. μετ' αὐτῶν] Krügerus legendum censet μετ' αὐτοῦ (sc. Χειρισόφου), quod suadeat particula μέντοι (Xenophon tamen Cherisophum deserere noluit, ut deseruerunt Arcades, sed una cum eo etc.), neque sequentia intelligi posse, nisi ita legatur. At ego puto non tam anxie haerendum esse in pronomine αὐτῶν; intelligendi sunt Arcades et Achaei. Etsi Arcades et Achaei seditionem fecerant atque ea re Cherisopho summum exercitus imperium abrogatum erat, tamen Xenophon reliquos milites non ab illis secernendos, sed una cum eis iter pergendum censuit.

Κάλπης] V. VI, 4, 3.

§. 14. αὐτοί] Neo et Cherisophus.

οἱ αὑτῶν στρατιῶται] Scripsi αὑτῶν pro vulg. αὐτῶν ob articuli collocationem, et sic semper scribendum censeo αὑτοῦ, αὑτῆς, αὑτῶν, ubi in codicibus

ἐπὶ τῶν τριήρων, διὰ ταῦτα συνεβούλευε. Καὶ Χειρί-
σοφος ἅμα μὲν ἀθυμῶν τοῖς γεγενημένοις, ἅμα δὲ μισῶν
ἐκ τούτου τὸ στράτευμα ἐπιτρέπει αὐτῷ ποιεῖν ὅ τι βού-
15 λεται. Ξενοφῶν δὲ ἔτι μὲν ἐπεχείρησεν ἀπαλλαγεὶς τῆς
στρατιᾶς ἐκπλεῦσαι· θυομένῳ δὲ αὐτῷ τῷ Ἡγεμόνι
Ἡρακλεῖ καὶ κοινουμένῳ, πότερα λῷον καὶ ἄμεινον εἴη
στρατεύεσθαι ἔχοντι τοὺς παραμείναντας τῶν στρατιω-
τῶν ἢ ἀπαλλάττεσθαι, ἐσήμηνεν ὁ θεὸς τοῖς ἱεροῖς συ-
16 στρατεύεσθαι. Οὕτω γίνεται τὸ στράτευμα τριχῇ, Ἀρ-
κάδες μὲν καὶ Ἀχαιοὶ πλείους ἢ τετρακισχίλιοι, ὁπλῖται
πάντες, Χειρισόφῳ δ' ὁπλῖται μὲν εἰς τετρακοσίους καὶ
χιλίους, πελτασταὶ δὲ εἰς ἑπτακοσίους, οἱ Κλεάρχου
Θρᾷκες, Ξενοφῶντι δὲ ὁπλῖται μὲν εἰς ἑπτακοσίους καὶ

§. 16. *γίνεται*] sic codd. omnes, v. var. scr. II, 2, 3. — *τριχῇ*] τριχά BFHIKL; τριχῶς G; cf. IV, 8, 15., ubi τριχῇ in omnibus codd. legitur. — *τετρακισχίλιοι*] v. adn. — *ἀμ-*

formae **αὐτοῦ, αὐτῆς, αὐτῶν** inter articulum et substantivum positae leguntur. V. nos in Gr. T. II. §. 627, 3. (Gr. schol. §. 245. not. 4.) Sic Cyrop. I, 1, 5. legendum est *ὥστε ἀεὶ τῇ αὐτοῦ γνώμῃ ἀξιοῦν κυβερνᾶσθαι* pro *αὐτοῦ*.

διὰ ταῦτα] De plurali v. ad III, 5, 5.

§. 15. *ἔτι μὲν ἐπεχείρησεν — ἐκπλεῦσαι*] Krügerus *ἔτι* interpretatur aliquamdiu (ut *τέως* IV, 2, 12.); verti quidem sic potest, at hanc vim nunquam habet; *ἔτι* in eiusmodi exemplis semper refertur ad aliud tempus, quo rerum conditio, quae adhuc fuit, mutata est, uti h. l. Xenophon cogitavit relicto exercitu solus abire tamdiu, donec a deo monitus est, ut una cum militibus suis iter faceret. Ita accipiendi sunt loci ab illo allati: Hellen. II, 4, 11. Plat. Protag. p. 310. C: *ἔτι μὲν ἐνεχείρησα εὐθὺς παρὰ σὲ ἰέναι· ἔπειτά μοι λίαν πόῤῥω ἔδοξε τῶν νυκτῶν εἶναι*, ubi v. Stallbaumium, qui recte vertit: *und noch immer hatte ich zwar den Vorsatz, zu dir zu gehen; aber dann schien es mir* etc.

τῷ Ἡγεμόνι Ἡρακλεῖ] V. ad IV, 8, 25.

κοινουμένῳ] consulenti. V. ad III, 1, 5.

λῷον καὶ ἄμεινον] „Formula solennis." KRÜGER. V. exempla a Sturzio in L. X. T. III. p. 62. congesta. Verte: *besser u. vortheilhafter*. Cf. VII, 6, 44. Pariter I, 7, 3. *ἀμείνονας καὶ κρείττους*. Ducta videtur Heilando de dial. Xen. p. 16. haec apud Xen. sollemnis formula ex antiquo sermone epico, comp. Od. α, 376. Plutarch. quaest. Rom. c. 28. Saupp. ad Vectig. VI, 2. Haas. ad R. L. VIII, 5.

§. 16. *τετρακισχίλιοι*] Cum optimis codicibus ABDEQ omisi verba *καὶ πεντακόσιοι*, quae in reliquis post v. *τετρακισχίλιοι* addita sunt. Nam, uti V, 3, 3. scriptum est, iam Cerasunte universi exercitus numerus 8600 fuerunt. Ac postea, quum Mossynoecorum fines intrarent, aliquot milites perierunt (cf. V. c. 4.). Si vero Arcades et Achaei

χιλίους, πελτασταὶ δὲ εἰς τριακοσίους· ἱππικὸν δὲ μόνος οὗτος εἶχεν, ἀμφὶ τετταράκοντα ἱππέας.

Καὶ οἱ μὲν Ἀρκάδες διαπραξάμενοι πλοῖα παρὰ 17
τῶν Ἡρακλεωτῶν πρῶτοι πλέουσιν, ὅπως ἐξαίφνης ἐπιπεσόντες τοῖς Βιθυνοῖς λάβοιεν ὅ τι πλεῖστα· καὶ ἀποβαίνουσιν εἰς Κάλπης λιμένα κατὰ μέσον πως τῆς Θρᾴκης. Χειρίσοφος δ' εὐθὺς ἀπὸ τῆς πόλεως τῶν Ἡρα- 18
κλεωτῶν ἀρξάμενος πεζῇ ἐπορεύετο διὰ τῆς χώρας· ἐπεὶ δὲ εἰς τὴν Θρᾴκην ἐνέβαλλε, παρὰ τὴν θάλατταν ᾔει· καὶ γὰρ ἤδη ἠσθένει. Ξενοφῶν δὲ πλοῖα λαβὼν ἀπο- 19
βαίνει ἐπὶ τὰ ὅρια τῆς Θρᾴκης καὶ τῆς Ἡρακλεώτιδος καὶ διὰ μεσογαίας ἐπορεύετο.

III. [Ὃν μὲν οὖν τρόπον ἥ τε Χειρισόφου ἀρχὴ 1

φὶ τετταρ.] sic ABE pro ἀμφὶ τοὺς τετταρ. — §. 18. ἐνέβαλλε] sic ABFGHIKL pro ἐνέβαλε. — ᾔει] sic BCDE; εἴη A; reliqui ἐπορεύετο.

plus quam 4500 fuissent, ratio nullo modo constaret. Quod autem supra §. 10. Arcades et Achaei ὑπὲρ ἥμισυ τοῦ ἄλλου στρατεύματος fuisse dicuntur, id minime obstat; nam h. l. numero τετρακισχιλίων verba πλείους ἢ addita sunt. Aliter iudicat Krügerus de authent. p. 49.

πελτασταὶ — εἰς ἑπτακοσίους — εἰς τριακοσίους] Supra IV, 8, 15. peltastae fere 1800 fuisse traduntur. Quare quum, licet, qui ex illo tempore perierint, maximam partem peltastas fuisse (cf. V, 1, 17. 2. 3 sqq. 4, 16. 7, 16.) sumamus, ratio tamen non constet, Krügerus plures arma mutasse statuit.

§. 17. πλέουσιν, ὅπως — λάβοιεν] V. ad IV, 6, 1. De Bithynis et Calpe v. ad VI, 4, 1. et 3.

κατὰ μέσον πως τῆς Θρᾴκης] Thraciae Asiaticae aut Bithyniae, quae ex eo etiam Thracia appellata est, quod eius incolae eandem cum Europaeis Thracibus originem similemque linguam ac mores habebant, uti observat Halbkartus. Suspecta haec verba habet Krüger. de auth. p. 37.

§. 18. παρὰ τὴν θάλατταν] „propter mare, ut pugnas cum incolis evitaret et quam brevissimo tempore Calpen perveniret." HALBK.

§. 19. τὰ ὅρια τῆς Θρᾴκης καὶ τῆς Ἡρακλ.] Ad Sangarium fluvium hos fines fuisse coniicit Haken. T. II. p. 381 sq.

Cap. III. §. 1. Ὃν μὲν οὖν τρόπον] Ab hoc capite Schneiderum sextum librum orsum esse iam supra ad VI, 1. docuimus; at totum hoc exordium inde ab his verbis usque ad εἴρηται non ab ipso Xenophonte profectum esse, sed ab aliena manu importatum Bornemannus et Dindorfius luculentissimis argumentis demonstraverunt. Primum enim haec verba in optimis codicibus BCDE et, uti summa probabilitate Dindorfius coniecit, A omissa sunt. Deinde temere narrationem verba illa interpellant, inquit Bornemannus, nec vero ita comparata sunt, ut cum reliquis exordiis comparari queant, ut alia

τοῦ παντὸς κατελύθη, καὶ τῶν Ἑλλήνων τὸ στράτευμα
2 ἐσχίσθη, ἐν τοῖς ἐπάνω εἴρηται.] Ἔπραξαν δ' αὐτῶν ἕκα-
στοι τάδε. Οἱ μὲν Ἀρκάδες ὡς ἀπέβησαν νυκτὸς εἰς Κάλ-
πης λιμένα, πορεύονται εἰς τὰς πρώτας κώμας, στάδια ἀπὸ
θαλάττης ὡς τριάκοντα. Ἐπεὶ δὲ φῶς ἐγένετο, ἦγεν ἕκα-
στος ὁ στρατηγὸς τὸν ἑαυτοῦ λόχον ἐπὶ κώμην· ὁποία δὲ
3 μείζων ἐδόκει εἶναι, σύνδυο λόχους ἦγον οἱ στρατηγοί.
Συνεβάλοντο δὲ καὶ λόφον, εἰς ὃν δέοι πάντας ἁλίζεσθαι·
καὶ ἅτε ἐξαίφνης ἐπιπεσόντες ἀνδράποδά τε πολλὰ ἔλαβον
4 καὶ πρόβατα πολλὰ περιεβάλοντο. Οἱ δὲ Θρᾷκες ἠθροί-
ζοντο οἱ διαφεύγοντες· πολλοὶ δὲ διέφευγον πελτασταὶ
ὄντες ὁπλίτας ἐξ αὐτῶν τῶν χειρῶν. Ἐπεὶ δὲ συνελέγη-
σαν, πρῶτον μὲν τῷ Σμίκρητος λόχῳ, ἑνὸς τῶν Ἀρκάδων
στρατηγῶν, ἀπιόντι ἤδη εἰς τὸ συγκείμενον καὶ πολλὰ
5 χρήματα ἄγοντι ἐπιτίθενται. Καὶ τέως μὲν ἐμάχοντο
ἅμα πορευόμενοι οἱ Ἕλληνες, ἐπὶ δὲ διαβάσει χαράδρας

Cap. III. §. 2. *ὡς ἀπέβησαν*] ὥςπερ ἀπ. A; ὅςπερ ἀπ. B. — *ἕκαστος ὁ στρ.*] sic B pro ἕκαστος στρ., v. ad I, 8, 9. — *τὸν ἑαυτοῦ λόχον*] sic A; τὸν αὐτοῦ B D Q et Steph.; reliqui τὸ αὐτοῦ λάχος ex interpretamento, v. adn. — *μείζων ἐδόκει*] sic A B D E pro μείζων κώμη ἐδ. — §. 3. *Συνεβάλοντο*] συνεβάλλοντο et paullo post περιεβάλλοντο A F G H I K L. — *ἁλίζεσθαι*] Deteriores codd. αὐλίζεσθαι, v. ad II, 4, 3. — §. 4. *διαφεύγοντες — διέφευγον*] v. adn. — *ὄντες*] ὄντας A B H I

omittam, quae docte atque acute disputavit Dindorfius. Quae autem ad tuendum hoc prooemium a Krügero in libro de auth. p. 16 sq. et in edit. mai. allata sunt argumenta, persuadere mihi non potuerunt.

ἥ τε Χειρισόφου ἀρχὴ τοῦ παντός] De duobus genitivis diversae relationis ex uno nomine aptis v. nos in Gr. T. II. §. 542, 3. (Gr. schol. §. 275. not. 7.) et de eodem apud Latinos scriptores usu ad Ciceronis Tuscul. II, 15, 35.

§. 2. *Κάλπης*] V. VI, 4, 3.

τριάκοντα] Sic A B D E pro πεντήκοντα; facile litterae Λ et Ν inter se permutari potuerunt; eadem in codd. confusio IV, 6, 6. VII, 3, 7. 5, 15. 7, 2. 25.

ὁ στρατηγὸς τὸν ἑαυτοῦ λόχον] V. ad VI, 2, 11.

§. 3. *Συνεβάλοντο — λόφον*] Constituerunt collem, convenit inter eos de colle. Cf. §. 4. *ἀπιόντι — εἰς τὸ συγκείμενον.* De seq. *ἅτε* v. ad IV, 2, 13.

περιεβάλοντο] sibi compararunt, abstulerunt. Cyrop. III, 3, 23: τοῖς δ' ἵπποις καταδρομὴν ποιησάμενοι περιεβάλοντο πολλὴν καὶ παντοίαν λείαν. V. Sturz. L. X. T. III. p. 515.

§. 4. *Οἱ δὲ Θρᾷκες*] Thraces Asiatici aut Bithyni (v. ad VI, 2, 17.), qui incolae erant eorum vicorum, quos adorti erant Arcades. Pro nominativo exspectes genitivum; sed nominativus

τρέπονται αὐτοὺς καὶ αὐτόν τε τὸν Σμίκρητα ἀποκτιν-
νύασι καὶ τοὺς ἄλλους πάντας· ἄλλου δὲ λόχου τῶν
δέκα στρατηγῶν τοῦ Ἡγησάνδρου ὀκτὼ μόνους κατέλι-
πον· καὶ αὐτὸς Ἡγήσανδρος ἐσώθη. Καὶ οἱ ἄλλοι δὲ 6
λοχαγοὶ συνῆλθον, οἱ μὲν σὺν πράγμασιν, οἱ δὲ ἄνευ
πραγμάτων· οἱ δὲ Θρᾷκες ἐπεὶ εὐτύχησαν τοῦτο τὸ εὐ-
τύχημα, συνεβόων τε ἀλλήλους καὶ συνελέγοντο ἐῤῥω-
μένως τῆς νυκτός. Καὶ ἅμα ἡμέρᾳ κύκλῳ περὶ τὸν
λόφον, ἔνθα οἱ Ἕλληνες ἐστρατοπεδεύοντο, ἐτάττοντο
καὶ ἱππεῖς πολλοὶ καὶ πελτασταί, καὶ ἀεὶ πλείονες συνέῤ-
ῥεον· καὶ προςέβαλλον πρὸς τοὺς ὁπλίτας ἀσφαλῶς· οἱ 7
μὲν γὰρ Ἕλληνες οὔτε τοξότην εἶχον, οὔτε ἀκοντιστήν,
οὔτε ἱππέα· οἱ δὲ προςθέοντες καὶ προςελαύνοντες ἠκόν-
τιζον· ὁπότε δὲ αὐτοῖς ἐπίοιεν, ῥᾳδίως ἀπέφευγον·
ἄλλοι δὲ ἄλλῃ ἐπετίθεντο. Καὶ τῶν μὲν πολλοὶ ἐτιτρώ- 8
σκοντο, τῶν δὲ οὐδείς· ὥςτε κινηθῆναι οὐκ ἐδύναντο

KL et Ald., aperto errore ob seq. voc. — *ἐπιτίθενται*] sic A E pro *ἐπετίθεντο.* — §. 5. *ἀποκτιννύασι*] sic ABDFGHI KL pro *ἀποκτιννύουσι*, v. ad IV, 6, 24. — §. 6. *Καὶ οἱ ἄλλοι δέ*] sic AB; *καὶ οἱ ἄλλοι μέν* E; reliqui *καὶ ἄλλοι δέ.* — *ἐπεὶ εὐτύχησαν*] v. adn. — *ἅμα ἡμέρᾳ*] sic ABQ; *ἅμα κύκλῳ τῇ ἡμ.* FGHIKL; *ἅμα ἦσαν κύκλῳ τῇ ἡμ.* Ald.; reliqui *ἅμα τῇ ἡμ. κύκλῳ*, v. adn.

in partitione saepe ponitur, quo gravius subiectum efferatur: quod frequentissimum est in appositione quae vocatur partitiva. Cf. ad I, 7, 15.

οἱ διαφεύγοντες] qui Arcadibus fuga se subtrahebant. Iniuria autem Weiskius, Schneiderus, Dindorfius hanc omnium codicum auctoritate stabilitam scripturam mutaverunt in *οἱ διαφυγόντες*; neque sequens *διέφευγον*, quod optimi codices ABCO tuentur, cum deterioribus codd. in *διέφυγον* mutandum fuit. V. ad I, 1, 7.

§. 5. *τρέπονται*] Scil. *οἱ Θρᾷκες*; de subiecto mutato v. ad I, 4, 5.

§. 6. *σὺν πράγμασιν* — *ἄνευ πραγμάτων*] difficulter — sine negotio.

ἐπεὶ εὐτύχησαν] Sic BE; *ἐπεὶ ηὐτύχησαν* A; reliqui *εὐτυχήσαντες* omisso *ἐπεί.* Forma *ηὐτύχησαν* apud Xenophontem alias non legitur. Omnino augmenti forma *ηυ* apud eum rara est saepeque corrupta. V. Popponem ad Cyrop. p. XXXVIII. et nos ad Commentar. I, 3, 2.

συνεβόων — ἀλλήλους] mutuis se convocabant clamoribus. Cf. Cyrop. III, 2, 6.

ἅμα ἡμέρᾳ] Sic ABQ pro *ἅμα τῇ ἡμέρᾳ*; utrumque legitur, sed sine articulo rarius, uti Hellen. III, 2, 3. Thuc. III, 17, 107., quos locos Krügero et Popponi debeo.

§. 7. *οἱ δέ*] Scil. *οἱ πολέμιοι.* Cf. ad III, 4, 4.

ὁπότε — ἐπίοιεν] V. ad I, 2, 7.

ἐκ τοῦ χωρίου, ἀλλὰ τελευτῶντες καὶ ἀπὸ τοῦ ὕδατος
9 εἶργον αὐτοὺς οἱ Θρᾷκες. Ἐπεὶ δὲ ἀπορία πολλὴ ἦν,
διελέγοντο περὶ σπονδῶν· καὶ τὰ μὲν ἄλλα ὡμολόγητο
αὐτοῖς, ὁμήρους δὲ οὐκ ἐδίδοσαν οἱ Θρᾷκες, αἰτούν-
των τῶν Ἑλλήνων, ἀλλ᾽ ἐν τούτῳ ἴσχετο. Τὰ μὲν δὴ
τῶν Ἀρκάδων οὕτως εἶχε.

10 Χειρίσοφος δὲ ἀσφαλῶς πορευόμενος παρὰ θάλατ-
ταν ἀφικνεῖται εἰς Κάλπης λιμένα. Ξενοφῶντι δὲ διὰ
τῆς μεσογαίας πορευομένῳ οἱ ἱππεῖς προκαταθέοντες ἐν-
τυγχάνουσι πρεσβύταις πορευομένοις ποι. Καὶ ἐπεὶ
ἤχθησαν παρὰ Ξενοφῶντα, ἐρωτᾷ αὐτούς, εἴ που ᾔ-
11 σθηνται ἄλλου στρατεύματος, ὄντος Ἑλληνικοῦ. Οἱ
δὲ ἔλεγον πάντα τὰ γεγενημένα, καὶ νῦν ὅτι πολιορκοῦν-
ται ἐπὶ λόφου, οἱ δὲ Θρᾷκες πάντες περικεκυκλωμένοι
εἶεν αὐτούς. Ἐνταῦθα τοὺς μὲν ἀνθρώπους τούτους

§. 10. προκαταθέοντες] καταθέοντες ABE; fortasse illud e glossem. — πρεσβύταις] v. adn. — ἐπεί] sic ABE pro ἐπειδή. — παρά] sic AB pro πρός. — ᾔσθηνται] ᾔσθοντο A. — ὄντος] v. adn. — §. 11. ἐφύλαττεν] sic ABF GHIKL pro ἐφύλαττον. — ὅπου] sic AB; ὅποι FGHIK; reliqui ὅπῃ. — καταστήσας συνέλεξε] sic ABDE pro κ. δέκα συνέλ.; δέκα ex δὲ καταστήσας, ut videtur, ortum e margine huc

§. 9. ἐδίδοσαν] V. ad I, 3, 1. ἐν τούτῳ ἴσχετο] in hac conditione res haerebat.

§. 10. Ξενοφῶντι — πορευομένῳ] Dativi pro genitivis qui vocantur absolutis positi videntur; at videntur tantum; dativus enim substantivi cum dativo participii coniunctus saepissime apud Graecos ita usurpatur, ut significet personam, cuius respectu aut in cuius commodum actio quaedam fit. V. nos in Gr. T. II. §. 581. b. (Gr. schol. §. 284, 3, 10.)

πρεσβύταις] Sic ABDN pro πρεσβευταῖς, quod iure reiecit Zeunius; primum enim pro plurali πρεσβευταί Attici scriptores uti solent πρέσβεις, v. Sturz. L. X. T. III. p. 655. et 656.; dein legatorum simplex commemoratio non satis apta videtur.

ὄντος Ἑλληνικοῦ] Participium ὄντος addunt ABFGH IKL; cum eo particulam πού iungendam censuit Weiskius; at πού sine dubio iungendum est cum ᾔσθηνται, et verba ὄντος Ἑλληνικοῦ tanquam appositio inserviunt explicandis verbis ἄλλου στρατεύματος. Ne autem hoc verborum ordine offendamur, comparat Krügerus in ed. min. Thuc. II, 2: ἐςῆλθον ἐς Πλάταιαν, οὖσαν Ἀθηναίων ξυμμαχίδα. App. Mithr. 53: ἐκέλευσεν αὐτόν, ὄντα Ῥωμαῖον, εἴσω δέχεσθαι.

§. 11. νῦν ὅτι] V. ad I, 9, 20. De modis variatis πολιορκοῦνται et εἶεν v. ad II, 1, 3.

ὅπου δέοι] Scil. ἡγεμόνας εἶναι.

§. 12. οὕτω μὲν — οὕτω

ἐφύλαττεν ἰσχυρῶς, ὅπως ἡγεμόνες εἶεν, ὅπου δέοι·
σκοποὺς δὲ καταστήσας συνέλεξε τοὺς στρατιώτας καὶ
ἔλεξεν· Ἄνδρες στρατιῶται, τῶν Ἀρκάδων οἱ μὲν τεθνᾶ- 12
σιν, οἱ δὲ λοιποὶ ἐπὶ λόφου τινὸς πολιορκοῦνται. Νο-
μίζω δ' ἔγωγε, εἰ ἐκεῖνοι ἀπολοῦνται, οὐδ' ἡμῖν εἶναι
οὐδεμίαν σωτηρίαν, οὕτω μὲν πολλῶν ὄντων πολεμίων,
οὕτω δὲ τεθαῤῥηκότων. Κράτιστον οὖν ἡμῖν ὡς τάχι- 13
στα βοηθεῖν τοῖς ἀνδράσιν, ὅπως, εἰ ἔτι εἰσὶ σῶοι, σὺν
ἐκείνοις μαχώμεθα καὶ μὴ μόνοι λειφθέντες μόνοι καὶ
κινδυνεύωμεν. Νῦν μὲν οὖν στρατοπεδευσώμεθα προ- 14
ελθόντες, ὅσον ἂν δοκῇ καιρὸς εἶναι εἰς τὸ δειπνοποιεῖ-
σθαι· ἕως δ' ἂν πορευώμεθα, Τιμασίων ἔχων τοὺς ἱπ-
πεῖς προελαυνέτω ἐφορῶν ἡμᾶς καὶ σκοπείτω τὰ ἔμπρο-
σθεν, ὡς μηδὲν ἡμᾶς λάθῃ. (Παρέπεμψε δὲ καὶ τῶν 15
γυμνητῶν ἀνθρώπους εὐζώνους εἰς τὰ πλάγια καὶ εἰς

migrasse videtur. — §. 12. τεθαῤῥηκότων] sic A B pro τεθαρσ., v. var. scr. I, 7, 2. — §. 13. λειφθέντες] ληφθέντες A B. — κινδυνεύωμεν] sic A D; B om. μόνοι — προελθόντες; reliqui κινδυνεύσωμεν. — §. 14. Νῦν μὲν οὖν] νῦν οὖν A E. — στρατοπεδευσώμεθα] στρατοπεδευώμεθα D; στρατοπεδευσόμεθα HIKL et Ald. — προελθόντες] περιελθ. A D E. — προελαυνέτω] προσελ. A B D.

δέ] V. ad I, 9, 10. — τεθαῤῥηκότων, i. e. audacium.

§. 14. Νῦν μέν] In mente habet scriptor haec fere: ἅμα δὲ ἡμέρᾳ πορευώμεθα ἐπὶ τοὺς πολεμίους (§. 21.). De μὲν quod vocatur solitario v. ad I, 2, 1.

ὅσον] Scil. προελθεῖν, quod ἀπὸ κοινοῦ ex antecedenti προελθόντες repetendum est. Cf. §. 14. V. ad I, 2, 15.

καιρός] „Non respicit ad tempus coenae, sed ad iustum exercitationis modum, ut non defatigati salubrem tamen et iucundam coenam capiant." WEISK. Cf. VII, 3, 9. Krügerus refert ad locum castris ponendis aptum nec minus hostibus propinquum, ne non coenati confligere cogerentur.

Τιμασίων] „*Von jetzt an sehen wir diesen Timasion beständig an der Spitze der Reiterei* (cf. VI, 5, 28. VII, 3, 46.), *und es scheint also wohl, daſs der Athener Lykios, ihr bisheriger Anführer* (cf. III, 3, 20. IV, 3, 22. 25. 7, 24.), *auf irgend eine Weise auſser Stand gesetzt worden, einen Befehl fortzuführen, bei welchem er sich eine verdiente Achtung erworben hatte.*" HAKEN. T. II. p. 213.

ἐφορῶν ἡμᾶς] „neque tamen longius progrediatur, sed ita, ut conspicari nos possit. Cf. Cyr. V, 3, 56: πρὸ παντὸς τοῦ στρατεύματος πεζοὺς εὐζώνους οὐ πολλοὺς προὔπεμπεν ἐφορωμένους ὑπὸ Χρυσάντα καὶ ἐφορῶντας αὐτόν." KRÜGER.

§. 15. Παρέπεμψε — καυσίμῳ] Haec verba Xenophontis orationi παρενθετικῶς interserta sunt.

τὰ ἄκρα, ὅπως, εἴ πού τί ποθεν καθορῷεν, σημαίνοιεν· ἐκέλευε δὲ καίειν ἅπαντα, ὅτῳ ἐντυγχάνοιεν καυσίμῳ.)
16 Ἡμεῖς γὰρ ἀποδραίημεν ἂν οὐδαμοῦ ἐνθένδε· πολλὴ μὲν γάρ, ἔφη, εἰς Ἡράκλειαν πάλιν ἀπιέναι, πολλὴ δὲ εἰς Χρυσόπολιν διελθεῖν· οἱ δὲ πολέμιοι πλησίον· εἰς Κάλπης δὲ λιμένα, ἔνθα Χειρίσοφον εἰκάζομεν εἶναι, εἰ σέσωσται, ἐλαχίστη ὁδός. Ἀλλὰ δὴ ἐκεῖ μὲν οὔτε πλοῖα ἔστιν, οἷς ἀποπλευσούμεθα· μένουσι δὲ αὐτοῦ οὐδὲ
17 μιᾶς ἡμέρας ἔστι τὰ ἐπιτήδεια. Τῶν δὲ πολιορκουμένων ἀπολομένων, σὺν τοῖς Χειρισόφου μόνοις κάκιόν ἐστι διακινδυνεύειν, ἢ τῶνδε σωθέντων πάντας εἰς ταὐτὸν ἐλθόντας κοινῇ τῆς σωτηρίας ἔχεσθαι. Ἀλλὰ χρὴ παρασκευασαμένους τὴν γνώμην πορεύεσθαι, ὡς νῦν ἢ εὐκλεῶς τελευτῆσαι ἔστιν, ἢ κάλλιστον ἔργον ἐργάσα-

§. 15. εἰς τὰ ἄκρα] sic ABEQ; reliqui om. εἰς. — §. 16. Ἡμεῖς γάρ] sic ABE pro ἡμεῖς μὲν γάρ. — πολλὴ μὲν γάρ] πολὺ μὲν γάρ ABE; πολὺ μέν DQ; reliqui οὐδαμοῦ· ἐνθένδε δὲ πολλὴ μέν. — πολλὴ δέ] δέ om. A. + εἰκάζομεν] sic ABDEN pro νομίζομεν. — Ἀλλὰ δὴ ἐκεῖ μέν] ἀλλ' ἤδη ἐκεῖσε μέν FGHIKL et Ald. — ἀποπλευσούμεθα] ἀποπλευσόμεθα Ald., v. ad V, 1, 10. — μένουσι δέ] Dind. e coni. μένουσί τε, v. adn. — §. 17. ἀπολομένων] sic Steph.; codd. et edd. vett. ἀπολλουμένων, ἀπολουμένων, ἀπρλλομένων, ἀπολλωμένων; B omis. — ἢ τῶνδε σωθέντων] ἢ τῶν δὲ σωθ. AB

εἴ που] si forte.

ἅπαντα, ὅτῳ — καυσίμῳ] V. ad V, 3, 8. et de singulari ὅτῳ post ἅπαντα illato v. ad I, 1, 5.

§. 16. ἀποδραίημεν ἂν οὐδαμοῦ] Exspectes οὐδαμόσε, at v. ad §. 23.

πολλή] Scil. ὁδός. Paullo post ἐλαχίστη ὁδός.

Χρυσόπολιν] V. ad VI, 6, 38.

Ἀλλὰ δή] At profecto. V. exempla congesta ab Hartungo de Gr. partic. T. I. p. 289. et a Klotzio ad Devar. p. 26 sqq.; quanquam quam harum particularum afferunt explicationem, mihi quidem non probatur.

ἐκεῖ μέν] opponitur sententia, quae scriptoris menti obversabatur, fere haec: εἰς Ἡράκλειαν δέ, ἔνθα πλοῖά ἐστι, πολλή ἐστιν ὁδὸς πάλιν ἀπιέναι. V. ad I, 2, 1.

μένουσι δέ] Scil. ἡμῖν. Particula δέ respondet antecedenti οὔτε, sed ita, ut partitiva orationis forma transeat in adversativam. V. nos in Gr. T. II. §. 743, 3. β. De τὲ — δέ v. ad V, 5, 8.

§. 17. τῆς σωτηρίας ἔχεσθαι] proprie saluti adhaerere, h. e. saluti studiose operam dare, salutem persequi. V. Rost. §. 162, 5. b. Kühner. T. II. §. 520. b. (Gr. schol. §. 273, 3. b.)

χρὴ παρασκευασαμένους τὴν γνώμην πορεύεσθαι, ὡς — ἔστιν] oportet nos proficisci animis ita comparatis, ut nunc aut gloriose occumbendum

σθαι Ἕλληνας τοσούτους σώσαντας. Καὶ ὁ θεὸς ἴσως 18
ἄγει οὕτως, ὃς τοὺς μεγαληγορήσαντας ὡς πλέον φρο-
νοῦντας ταπεινῶσαι βούλεται, ἡμᾶς δὲ τοὺς ἀπὸ θεῶν
ἀρχομένους ἐντιμοτέρους ἐκείνων καταστῆσαι. Ἀλλ᾽ ἕπε-
σθαι χρὴ καὶ προςέχειν τὸν νοῦν, ὡς ἂν τὸ παραγγελ-
λόμενον δύνησθε ποιεῖν.
Ταῦτ᾽ εἰπὼν ἡγεῖτο. Οἱ δ᾽ ἱππεῖς σπειρόμενοι, ἐφ᾽ 19
ὅσον καλῶς εἶχεν, ἔκαιον, ἢ ἐβάδιζον· καὶ οἱ πελτασταὶ
ἐπιπαριόντες κατὰ τὰ ἄκρα ἔκαιον πάντα, ὅσα καύσιμα
ἑώρων, καὶ ἡ στρατιὰ δέ, εἴ τινι παραλειπομένῳ ἐντυγ-
χάνοιεν· ὥςτε πᾶσα ἡ χώρα αἴθεσθαι ἐδόκει, καὶ τὸ
στράτευμα πολὺ εἶναι. Ἐπεὶ δὲ ὥρα ἦν, κατεστρατο- 20
πεδεύσαντο ἐπὶ λόφον ἐκβάντες καὶ τά τε τῶν πολεμίων
πυρὰ ἑώρων, ἀπεῖχον δὲ ὡς τετταράκοντα σταδίους, καὶ

D; ἢ σωθ. EN (sic Dind. aliique); σωθ. δέ HIKL et Ald.; σω-θέντων FG; ἐκείνων δὲ σωθέντων MO. — §. 18. πλέον] sic AQ pro πλεῖον; e B et πλέον et πλεῖον affert Gail. — ἀπὸ θεῶν] sic AB pro ἀπὸ τῶν θ. — δύνησθε] δυνήσησθε BDE; δυνήσεσθαι A. — §. 19. σπειρόμενοι] v. adn. — ἔκαιον ἢ ἐβάδιζον om. EFGHIKL; ἢ ἐβάδιζον om. AB. — ἐπιπαριόντες] παριόντες ABDE; at v. ad III, 4, 30. — αἴθεσθαι] sic ABDENQ pro καίεσθαι; v. ad IV, 7, 20. — §. 20. κατεστρατοπεδεύσαντο] κατεστρατοπεδεύοντο B; male ob seqq. imperf. — ἀπεῖχον δέ] sic ABE pro ἀπ. γάρ. — σταδίους] sic ABD pro στάδια.

statuamus, aut etc. Vulgaris structura est τὴν γνώμην παρασκευάζομαι aut τῇ ψυχῇ παρεσκευασμένος εἰμί, ὡς εὐκλεῶς τελευτήσων; v. exempla, quae collegit Sturzius L. X. T. III. p. 439. et Breitenb. ad Ages. I, 28.

§. 18. τοὺς μεγαληγορήσαντας ὡς πλέον φρονοῦντας] illos Arcades, qui insolenter se iactaverant, quasi ceteris prudentiores essent. V. supra VI, 2, 10. et 11. Docte ad h. l. demonstrat Dindorfius πλέον (πλεῖον) φρονεῖν non idem significare, quod μεῖζον φρονεῖν, sed illud esse prudentiorem esse, hoc superbiorem esse.

ὡς ἂν — δύνησθε] V. ad II, 5, 16.

§. 19. σπειρόμενοι] Sic ABE pro διασπειρόμενοι, quod sine dubio interpretamentum est. Saepe enim simplex legitur, ubi compositum exspectes. V. exempla a Sturzio L. X. T. IV. p. 69 sq. congesta.

ἐφ᾽ ὅσον] Scil. σπείρεσθαι. V. ad §. 14. De ἐπιπαριόντες v. ad III, 4, 30.

καὶ ἡ στρατιὰ δέ] itemque exercitus scil. ἔκαιεν. De καὶ — δέ v. ad I, 1, 2.; στρατιά h. l., ἱππεῦσι et πελτασταῖς opposita, significat τοὺς ὁπλίτας.

εἴ τινι παραλειπομένῳ ἐντυγχάνοιεν] si quid offendebant, quod (ab illis) relictum erat. De optativo v. ad I, 2, 7.

21 αὐτοὶ ὡς ἐδύναντο πλεῖστα πυρὰ ἔκαιον. Ἐπεὶ δὲ ἐδεί-
πνησαν τάχιστα, παρηγγέλθη τὰ πυρὰ κατασβεννύναι
πάντα. Καὶ τὴν μὲν νύκτα φυλακὰς ποιησάμενοι ἐκά-
θευδον· ἅμα δὲ τῇ ἡμέρᾳ προσευξάμενοι τοῖς θεοῖς καὶ
συνταξάμενοι ὡς εἰς μάχην ἐπορεύοντο, ᾗ ἐδύναντο
22 τάχιστα. Τιμασίων δὲ καὶ οἱ ἱππεῖς, ἔχοντες τοὺς ἡγε-
μόνας καὶ προελαύνοντες, ἐλάνθανον αὐτοὺς ἐπὶ τῷ
λόφῳ γενόμενοι, ἔνθα ἐπολιορκοῦντο οἱ Ἕλληνες. Καὶ
οὐχ ὁρῶσιν οὔτε φίλιον στράτευμα οὔτε πολέμιον, καὶ
ταῦτα ἀπαγγέλλουσι πρὸς τὸν Ξενοφῶντα καὶ τὸ στρά-
τευμα, γραΐδια δὲ καὶ γερόντια καὶ πρόβατα ὀλίγα καὶ
23 βοῦς καταλελειμμένους. Καὶ τὸ μὲν πρῶτον θαῦμα ἦν,
τί εἴη τὸ γεγενημένον, ἔπειτα δὲ καὶ τῶν καταλελειμμέ-
νων ἐπυνθάνοντο, ὅτι οἱ μὲν Θρᾷκες εὐθὺς ἀφ' ἑσπέ-
ρας ᾤχοντο ἀπιόντες, ἕωθεν δὲ καὶ τοὺς Ἕλληνας ἔφα-
σαν οἴχεσθαι· ὅπου δέ, οὐκ εἰδέναι.
24 Ταῦτα ἀκούσαντες οἱ ἀμφὶ Ξενοφῶντα, ἐπεὶ ἠρί-
στησαν, συσκευασάμενοι ἐπορεύοντο, βουλόμενοι ὡς

ἐδύναντο] ἠδ. B, v. var. scr. III, 1, 11. — ἔκαιον] ἔκαον L. — §. 21. πάντα] sic ABDEN pro απαντας. — §. 22. προελαύνοντες] προσελ. ABE. — ἐλάνθανον] sic ABE pro ἔλαθον. — οὔτε φίλιον] sic AB pro οὔτε τὸ φ. — οὔτε πολέμιον] sic A pro οὔτε τὸ π. — ἀπαγγέλλουσι] sic Schneid.; ἀπαγγέλουσι AB; ἐπαγγέλλουσι E; reliqui παραγγέλλουσι. — §. 23.

§. 21. ὡς εἰς μάχην] V. ad I, 8, 1.

§. 22. ἐλάνθανον αὐτοὺς — γενόμενοι] Cf. de re equestri IX, 3: ἐκ τοῦ βραδυτάτου ἀρχόμενον οὕτως αὖ εἰς τὸ θᾶττον προάγειν (sc. χρή), ὡς ἂν μάλιστα λανθάνοι αὐτὸν ὁ ἵππος εἰς τὸ ταχὺ ἀφικνούμενος. V. nos in Gr. T. II. §. 656, 2. (Gr. schol. §. 310. not. 2.)

ἔνθα ἐπολιορκοῦντο] ubi obsidebantur, scil. eo tempore, quo Xenophon de eis audiverat. V. ad I, 1, 6.

ὀλίγα] etiam ad seq. βοῦς pertinet. V. ad IV, 7, 14.

§. 23. θαῦμα ἦν, τί εἴη] pro ὅ τι εἴη. V. ad I, 3, 18.

ὅπου δέ] Scil. οἴχοιντο. Pro ὅπου Dindorfius e coniectura dedit ὅποι, quod probari non potest; est enim praegnans quaedam structura, qua significatur: quo abissent et ubi iam essent. V. nos in Gr. T. II. §. 622. not. 2. (Gr. schol. §. 300. not. 7.) Cf. Breitenb. ad Hier. III, 2.

§. 24. οἱ ἀμφὶ Ξενοφῶντα] Xenophon cum militibus suis. V. ad III, 2, 2.

συμμῖξαι τοῖς ἄλλοις εἰς — λιμένα] Praegnanti vi dictum pro ἐλθόντες εἰς Κάλπης λιμένα τοῖς ἄλλοις συμμῖξαι. Cf. nos in Gr. T. II. §. 622. b. (Gr. schol. §. 300, 3. b.)

κατὰ τὴν ἐπὶ Κάλπης ὁδόν] Hanc scripturam praeter A et B, in quibus ἐπὶ Κάλπην, et E, in quo Κάλπης sine ἐπί est,

τάχιστα συμμῖξαι τοῖς ἄλλοις εἰς Κάλπης λιμένα. Καὶ πορευόμενοι ἑώρων τὸν στίβον τῶν Ἀρκάδων καὶ Ἀχαιῶν κατὰ τὴν ἐπὶ Κάλπης ὁδόν. Ἐπεὶ δὲ ἀφίκοντο εἰς τὸ αὐτό, ἄσμενοί τε εἶδον ἀλλήλους καὶ ἠσπάζοντο ὥσπερ ἀδελφούς. Καὶ ἐπυνθάνοντο οἱ Ἀρκάδες τῶν περὶ 25
Ξενοφῶντα, τί τὰ πυρὰ κατασβέσειαν· ἡμεῖς μὲν γάρ, ἔφασαν, ᾠόμεθα ὑμᾶς τὸ μὲν πρῶτον, ἐπειδὴ τὰ πυρὰ οὐχ ἑωρῶμεν, τῆς νυκτὸς ἥξειν ἐπὶ τοὺς πολεμίους· καὶ οἱ πολέμιοι δέ, ὥς γε ἡμῖν ἐδόκουν, τοῦτο δείσαντες ἀπῆλθον· σχεδὸν γὰρ ἀμφὶ τοῦτον τὸν χρόνον ἀπῄεσαν. Ἐπεὶ δ' οὐκ ἀφίκεσθε, ὁ δὲ χρόνος ἐξῆκεν, ᾠόμεθα 26
ὑμᾶς πυθομένους τὰ παρ' ἡμῖν φοβηθέντας οἴχεσθαι ἀποδράντας ἐπὶ θάλατταν· καὶ ἐδόκει ἡμῖν μὴ ἀπολιπέσθαι ὑμῶν. Οὕτως οὖν καὶ ἡμεῖς δεῦρο ἐπορεύθημεν.

IV. Ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ηὐλίζοντο 1
ἐπὶ τοῦ αἰγιαλοῦ πρὸς τῷ λιμένι. Τὸ δὲ χωρίον τοῦτο, ὃ καλεῖται Κάλπης λιμήν, ἔστι μὲν ἐν τῇ Θρᾴκῃ τῇ ἐν

δὲ καί] sic ABE; reliqui om. καί. — εὐθύς] om. ABE. — ὅπου] v. adn. — §. 24. ἐπὶ Κάλπης] v. adn. — §. 25. καὶ οἱ π. δέ] sic ABE; reliqui om. δέ. — §. 26. ἀφίκεσθε] sic ABDEQ pro ἀφικνεῖσθε.

Cap. IV. §. 1. πρός] sic ABDQ pro ἐν, quod per se non reiiciendum, v. ad §. 5.

reliqui omnes tuentur codices. Utrumque quidem recte dicitur, et ἡ ἐπὶ Κάλπην ὁδός et ἡ ἐπὶ Κάλπης ὁδός, eo tamen discrimine, ut illud simpliciter significet iter ad locum aliquem, hoc autem adiunctam habeat notionem termini, qui petitur, consequendi, uti inter se differunt ἰέναι ἐπὶ πόλιν et ἰέναι ἐπὶ πόλεως. V. nos in Gr. T. II. §. 611. I. (Gr. schol. §. 230. not. 8. et §. 296. I.) In hunc locum sine dubio altera notio melius quadrat; litterae autem *N* et *Σ* in codd. saepe permutantur; denique facilius exquisitius ἐπὶ Κάλπης in tritius ἐπὶ Κάλπην a librariis mutari potuit. Quare duorum optimorum codicum auctoritati hoc quidem loco obsecuti non sumus.

§. 25. ἐδόκουν] V. ad I, 4, 7.

§. 26. ἐξῆκεν] praeterierat. V. Sturz. L. X. T. II. p. 222.

ἀπολιπέσθαι ὑμῶν] vos deserere. Cf. V, 4, 20. et Rost. §. 162, 2. b. additam. Kühner. T. II. §. 513, 3. (Gr. schol. §. 271, 2.)

Cap. IV. §. 1. αἰγιαλοῦ] Vocabulum Ionicum et poeticum. Legitur etiam infra §. 7. et alibi apud Xenophontem. V. Sturz. L. X. T. I. p. 74. Apud Herodotum saepissime reperitur. V. Schweighaeuseri Lex. T. I. p. 12.

Κάλπης λιμήν] V. Ains-

τῇ Ἀσίᾳ· ἀρξαμένη δὲ ἡ Θρᾴκη αὕτη ἐστὶν ἀπὸ τοῦ στόματος τοῦ Πόντου μέχρι Ἡρακλείας ἐπὶ δεξιὰ εἰς
2 *τὸν Πόντον εἰςπλέοντι. Καὶ τριήρει μέν ἐστιν εἰς Ἡράκλειαν ἐκ Βυζαντίου κώπαις ἡμέρας μάλα μακρᾶς πλοῦς· ἐν δὲ τῷ μέσῳ ἄλλη μὲν πόλις οὐδεμία οὔτε φιλία οὔτε Ἑλληνίς, ἀλλὰ Θρᾷκες Βιθυνοί· καὶ οὓς ἂν λάβωσι τῶν Ἑλλήνων ἐκπίπτοντας ἢ ἄλλως πως, δεινὰ ὑβρίζειν λέ-*
3 *γονται τοὺς Ἕλληνας. Ὁ δὲ Κάλπης λιμὴν ἐν μέσῳ μὲν κεῖται ἑκατέρωθεν πλεόντων ἐξ Ἡρακλείας καὶ Βυζαντίου, ἔστι δ' ἐν τῇ θαλάττῃ προκείμενον χωρίον, τὸ μὲν εἰς τὴν θάλατταν καθῆκον αὐτοῦ πέτρα ἀποῤῥώξ, ὕψος, ὅπη ἐλάχιστον, οὐ μεῖον εἴκοσιν ὀργυιῶν, ὁ δὲ αὐχὴν ὁ*

μέχρι] sic ABIK pro *μέχρις*, v. ad I, 4, 13. — §. 2. *τριήρει*] sic ABCDEMO; *τριήρεις* FG; reliqui *τριήρους*. — *μάλα*] om. ABDN. — *μακρᾶς*] *μικρᾶς* BEN, at v. adn. — *ἀλλὰ Θρ. Β.*] v. adn. — *ἐκπίπτοντας*] v. adn. — *τοὺς Ἕλληνας*] Iniuria haec v. Muretus delevit, Dindorf. uncis cinxit, v. ad I, 6, 4. — §. 3. *ὁ εἰς*] sic ABDEFG; reliqui om. *ὁ*. — *τὴν γῆν*] sic ADE; reliqui om. *τήν*. — *μάλιστα*] *οὐ*

worth. *travels in the track* etc. p. 218. et, qui Anglum emendavit, Kochium l. d. p. 127. Situs erat in Bithynia, quae erat pars Thraciae Asiaticae.

ἀπὸ τοῦ στόματος τοῦ Πόντου] H. e. *ἀπὸ Βοσπόρου Θρᾳκίου* (*Strafse von Konstantinopel*).

Ἡρακλείας] Intelligendus h. l. est ager Heracleae, non ipsa urbs. Cf. VI, 2, 19. De seq. *εἰςπλέοντι* v. ad III, 5, 7.

§. 2. *τριήρει μέν ἐστιν — κώπαις ἡμέρας μάλα μακρᾶς πλοῦς*] Triremis remis acta longissimum diem requirit ad iter a Byzantio ad Heracleam faciendum. Distantia utriusque loci fuit 700 stadia. V. quem Hutchinsonus attulit Herodotum IV, 86: *νηῦς ἐπίπαν μάλιστά κη κατανύει ἐν μακρημερίῃ ὀργυιὰς ἑπτακιςμυρίας, νυκτὸς δὲ ἑξακιςμυρίας*.

ἀλλὰ Θρᾷκες Βιθυνοί] Sic ABCDE; *ἀλλ' ἢ Θρᾷκες Βιθ.* FGNO; reliqui codd. habent *ἀλλ' ἢ Θρᾷκες ἢ Β.*; hinc Zeunius scripsit *ἀλλὰ Θρᾷκες οἱ Β.*, Schneiderus *ἀλλ' ἢ Θρᾷκες οἱ Β.* De *ἀλλ' ἤ*, nisi, v. ad IV, 6, 11. De articulo Schneiderus comparat Arrian. Peripl. p. 14. de Parthenio fluvio: *μέχρι τοῦδε Θρᾷκες οἱ Βιθυνοὶ νέμονται, ὧν καὶ Ξενοφῶν ἐν τῇ συγγραφῇ μνήμην ἐποιήσατο, ὅτι μαχιμώτατοι εἶεν τῶν κατὰ τὴν Ἀσίαν.* Xen. Hellen. I, 3, 2. *τοὺς Βιθυνοὺς Θρᾷκας.* III, 2, 2. *τὴν Βιθυνίδα Θρᾴκην.* Herod. I, 28. *Θρῆκες οἱ Θυνοί τε καὶ Βιθυνοί.* Articulus mihi non videtur necessario requiri; nam uti dicitur *πολῖται Ἀττικοί*, *Attische Bürger* (pars civium), et *οἱ π. οἱ Ἀττ.* aut *οἱ Ἀττ. π.* (universi cives), ita recte dici potest *Θρᾷκες Β.*, *Bithynische Thrakier*, et *Θρ. οἱ Β.* aut *οἱ Β. Θρ.*, *die Bithynischen Thr.*

οὓς ἂν — ἐκπίπτοντας ἢ ἄλλως πως] quoscunque Graecorum in littus eiectos vel alio modo ceperint. De verbo *ἐκπίπτειν* v.

εἰς τὴν γῆν ἀνήκων τοῦ χωρίου μάλιστα τεττάρων πλέ-
θρων τὸ εὖρος· τὸ δ' ἐντὸς τοῦ αὐχένος χωρίον ἱκανὸν
μυρίοις ἀνθρώποις οἰκῆσαι. Λιμὴν δ' ὑπ' αὐτῇ τῇ πέ- 4
τρᾳ τὸ πρὸς ἑσπέραν αἰγιαλὸν ἔχων. Κρήνη δὲ ἡδέος
ὕδατος καὶ ἄφθονος ῥέουσα ἐπ' αὐτῇ τῇ θαλάττῃ ὑπὸ
τῇ ἐπικρατείᾳ τοῦ χωρίου. Ξύλα δὲ πολλὰ μὲν καὶ ἄλλα,
πάνυ δὲ πολλὰ καὶ καλὰ ναυπηγήσιμα ἐπ' αὐτῇ τῇ θα-
λάττῃ. Τὸ δὲ ὄρος [τὸ ἐν τῷ λιμένι] εἰς μεσόγαιαν μὲν 5
ἀνήκει ὅσον ἐπὶ εἴκοσι σταδίους, καὶ τοῦτο γεῶδες καὶ
ἄλιθον· τὸ δὲ παρὰ θάλατταν πλέον ἢ ἐπὶ εἴκοσι στα-
δίους δασὺ πολλοῖς καὶ παντοδαποῖς καὶ μεγάλοις ξύ-
λοις. Ἡ δὲ ἄλλη χώρα καλὴ καὶ πολλή, καὶ κῶμαι ἐν αὐ- 6

μάλιστα ABD, unde Steph. *οὗ μ.*; at illud *οὐ* ex antec. *χωρίου* adhaesit. — *οἰκῆσαι*] sic Steph.; *οἰκήσειν* BQ; *οἰκήσεις* ADI; reliqui *οἴκησις*. — §. 4. *ἄφθονος*] v. adn. — *πάνυ δὲ πολλά*] om. ABE. — §. 5. [*τὸ ἐν τῷ λ.*]] v. adn. — *θάλατταν*] B habet *θάλασσαν*, sed supra impositis *ττ*, v. var. scr. IV, 7, 21.

infra VII, 5, 12. et 13. et Stallbaumium ad Plat. Phileb. p. 13. D. (p. 106 sq. ed. Goth.). Ad *ἄλλως πως* repetendum est *λάβωσι*. Particulam *ἤ*, quae vulgo ante *ἐκπίπτοντας* legitur, cum optimis codicibus ABE praeeunte Dindorfio delevi. Saepe illud *ἤ* in priore orationis membro omittitur, ubi positum exspectes, uti ubi notiones contrariae opponuntur. Bornemannus comparat I, 9, 11: *εἴ τίς τι ἀγαθὸν ἢ κακὸν ποιήσειεν αὐτόν* (ubi M et O *ἢ ἀγαθόν*). VII, 7, 6: *ὑμεῖς δὲ οὐκ ἦτε εἰς τήνδε τὴν χώραν, ἤ, εἴ ποτε ἔλθοιτε, ὡς ἐν κρειττόνων χώρᾳ ηὐλίζεσθε*. Reisig. Commentt. critt. ad O. C. p. 246. Hoc autem loco, ubi non contrariae, sed diversae tantum notiones opponuntur, prioris *ἤ* omissio eo aptior videtur esse, quod primaria notio est *ἐκπίπτοντας*, secundaria et tanquam additamentum adiecta *ἄλλως πως*.

§. 3. *πλεόντων*] Non absolute pro *πλεόντων ἀνθρώπων* (v. ad I, 2, 17.) accipiendum videtur, sed a verbis *ἐν μέσῳ* pendere. De participio autem sine articulo posito v. ad I, 1, 7.

χωρίον, τὸ μὲν — καθῆκον —· ὁ δὲ αὐχὴν —· τὸ δ' ἐντός] Haec tria orationis membra tanquam appositio partitiva vocabulo *χωρίον* adiuncta sunt. Cf. nos ad I, 7, 15.

§. 4. *τὸ πρὸς ἑσπέραν*] ad occidentem versus. De accusativo adverbiali v. nos in Gr. T. II. §. 557. not. 3. et 4. (Gr. schol. §. 279. not. 10.)

ἄφθονος ῥέουσα] Sic optime A et B pro *ἀφθόνου ῥ.* V. ad I, 4, 12.

ὑπὸ τῇ ἐπικρατείᾳ τοῦ χωρίου] intra huius loci fines situs, quasi huius loci ditioni subiectus. Cf. VII, 6, 42.

§. 5. *τὸ ἐν τῷ λιμένι*] ad portum. V. ad IV, 8, 22. Ceterum haec verba omittunt optimi codd. A et B, quare ea, praeeunte Bornemanno, uncis seclusi; glossatoris manum aperte prae

τῇ εἰσι πολλαὶ καὶ οἰκούμεναι· φέρει γὰρ ἡ γῆ καὶ κριθὰς καὶ πυροὺς καὶ ὄσπρια πάντα καὶ μελίνας καὶ σήσαμα καὶ σῦκα ἀρκοῦντα καὶ ἀμπέλους πολλὰς καὶ ἡδυ-
7 οίνους καὶ τἆλλα πάντα πλὴν ἐλαιῶν. Ἡ μὲν χώρα ἦν τοιαύτη. Ἐσκήνουν δὲ ἐν τῷ αἰγιαλῷ πρὸς τῇ θαλάττῃ· εἰς δὲ τὸ πόλισμα ἂν γενόμενον οὐκ ἐβούλοντο στρατοπεδεύεσθαι, ἀλλὰ ἐδόκει καὶ τὸ ἐλθεῖν ἐνταῦθα ἐξ ἐπι-
8 βουλῆς εἶναι, βουλομένων τινῶν κατοικίσαι πόλιν. Τῶν γὰρ στρατιωτῶν οἱ πλεῖστοι ἦσαν οὐ σπάνει βίου ἐκπεπλευκότες ἐπὶ ταύτην τὴν μισθοφοράν, ἀλλὰ τὴν Κύρου ἀρετὴν ἀκούοντες, οἱ μὲν καὶ ἄνδρας ἄγοντες, οἱ δὲ καὶ

§. 6. οἰκούμεναι] v. adn. — σήσαμα] sic ABDE pro σήσαμον. — §. 7. πρός] sic ABDEN pro ἐπί. — γενόμενον] sic ACDFG pro γενόμενοι. — κατοικίσαι] deteriores codd. κατοικῆσαι. — §. 8. οἱ δὲ καί] om. FGHIKL. — προςανηλωκότες] sic E; προςηλωκότες ABD; προανηλωκότας Ald.; reliqui πρὸς ἀνηλωκότα aut προςανηλωκότα. In loco planissimo editores multum pulveris excitaverunt. — καὶ

se ferre videntur. De seq. ὅσον, circiter, v. ad I, 8, 6.

§. 6. οἰκούμεναι] Sic recte A et E pro vulg. εὖ οἰκούμεναι; nam τόπος οἰκούμενος iam per se, non addito εὖ, significat locum incolis frequentem. Cf. I, 2, 6. 7. 10. 11. 13. 20. IV, 7, 19.

κριθὰς κτέ.] De hoc et seqq. pluralibus nominum quae vocantur materialium v. nos in Gr. T. II. §. 408. b. (Gr. schol. §. 243, 3, 2.) Infra VI, 6, 1. πυρούς, κριθάς, οἶνον, ὄσπρια, μελίνας.

μελίνας — σήσαμα] V. ad I 2, 22.

ἡδυοίνους] vini suavis feraces. V. Sturz. L. X. T. II. p. 474.

§. 7. Ἡ μὲν χώρα] V. ad II, 1, 6.

εἰς δὲ τὸ πόλισμα ἂν γενόμενον — στρατ.] in locum autem, qui (si quis id consilium inivisset) oppidum futurus fuit, castra transferre nolebant. De participio cum ἄν iuncto v. ad I, 1, 10. Articulus τό non cum πόλισμα, sed cum γενόμενον iungendum et πόλισμα pro praedicato accipiendum est, quasi dictum sit εἰς τοῦτο, ὃ ἐγένετο ἂν πόλισμα. Sine dubio intelligendus est Κάλπης λιμήν, οὗ τὸ ἐντὸς τοῦ αὐχένος χωρίον ἱκανὸν μυρίοις ἀνθρώποις οἰκῆσαι (§. 3. et 4.). Verbum στρατοπεδεύεσθαι construi solet cum ἐν, sed h. l. praegnanti vi dicitur pro: in locum aliquem sese conferre ibique castra ponere aut habere. Cf. Hellen. VI, 5, 17: ἔλαθε στρατοπεδευσάμενος εἰς τὸν οπισθεν κόλπον τῆς Μαντινικῆς.

ἐλθεῖν ἐνταῦθα] V. ad I, 10, 13.

§. 8. καὶ ἄνδρας ἄγοντες] οὐ μόνον αὐτοὶ ἥκοντες, ἀλλὰ καὶ ἄνδρας ἄγοντες. V. ad I, 3, 15.

πατέρας καὶ μητέρας — τέκνα] De omisso articulo v. nos in Gr. T. II. §. 484. not. b. (Gr. schol. §. 244. not. 3. b.)

πολλὰ καὶ ἀγαθὰ πράττειν] multa bona sibi acquirere, vel potius: in prosperrima conditione versari, prosperrima fortu-

προςανηλωκότες χρήματα, καὶ τούτων ἕτεροι ἀποδεδρακότες πατέρας καὶ μητέρας, οἱ δὲ καὶ τέκνα καταλιπόντες ὡς χρήματ' αὐτοῖς κτησάμενοι ἥξοντες πάλιν, ἀκούοντες καὶ τοὺς ἄλλους τοὺς παρὰ Κύρῳ πολλὰ καὶ ἀγαθὰ πράττειν. Τοιοῦτοι ὄντες ἐπόθουν εἰς τὴν Ἑλλάδα σώζεσθαι.

Ἐπειδὴ δὲ ὑστέρα ἡμέρα ἐγένετο τῆς εἰς ταὐτὸν 9 συνόδου, ἐπ' ἐξόδῳ ἐθύετο Ξενοφῶν· ἀνάγκη γὰρ ἦν ἐπὶ τὰ ἐπιτήδεια ἐξάγειν· ἐπενόει δὲ καὶ τοὺς νεκροὺς θάπτειν. Ἐπεὶ δὲ τὰ ἱερὰ καλὰ ἐγένετο, εἵποντο καὶ οἱ Ἀρκάδες, καὶ τοὺς μὲν νεκροὺς τοὺς πλείστους, ἔνθαπερ

τούτων] sic ABDE pro οἱ δὲ καὶ τούτων. — Τοιοῦτοι ὄντες] sic ABE pro τ. οὖν ὄντες, v. ad I, 10, 18. — ἐπόθουν] sic ABDEN pro ἐπεθύμουν. — §. 9. ὑστέρα] v. adn. — ταὐτόν] v. adn. — ἐπ' ἐξόδῳ] v. adn. — θάπτειν] sic AB DE pro θάψαι. — καλά] v. adn. — τοὺς μὲν νεκροὺς τοὺς πλ.] sic AB pro τοὺς νεκρ. τοὺς μὲν πλ.

nauti. Cf. infra VII, 4, 21. 6, 31. Sic πράττειν ἄριστα, τὰ κράτιστα. V. Sturz. L. X. T. III. p. 652 sq.

§. 9. Ἐπειδὴ δὲ ὑστέρα ἡμέρα ἐγ. τῆς εἰς ταὐτὸν συνόδου] Postquam autem dies alter, ex quo copiae convenerant, illuxit. Ne articulum ad ὑστέρα ἡμέρα desideres, comparat Krügerus in ed. min. IV, 6, 1: ἐπεὶ δὲ ἡμέρα ἦν ὀγδόη. Scripturam ὑστέρα exhibent ABD; ὑστεραία E; reliqui omittunt. Utraque forma de tempore legitur, sed prior rarius, uti τῷ ὑστέρῳ ἔτει et τῷ ὑστεραίῳ ἔτει apud Xenophontem reperitur, v. Sturz. Lex. T. IV. p. 411. et 413. Weiskium autem iniuria offensum esse fusiore oratione ἐπειδὴ ὑστέρα ἡμέρα ἐγένετο pro τῇ ὑστέρᾳ, τῇ ὑστεραίᾳ, aut τῇ ὑστέρᾳ (ὑστεραίᾳ) ἡμέρᾳ, probat Cyrop. VIII, 3, 9: ἡνίκα δὲ ἡ ὑστεραία ἧκε, ubi etiam articulum ἡ Pariss. A et B omittunt. Nostro autem loco haec circumlocutio necessario quodam modo requiritur; certe durissima fuisset oratio, si scripsisset Xenophon: τῇ δὲ ὑστέρᾳ (ἡμέρᾳ) τῆς εἰς ταὐτὸν συνόδου ἐπ' ἐξόδῳ κτλ. Genitivi τῆς συνόδου pendent a v. ὑστέρα, in quo inest notio comparativi. V. nos in Gr. T. II. §. 540. β. (Gr. schol. §. 275, 1.) Scripturam ταὐτόν pro vulg. ταὐτό tuentur AD; eodem ducere videtur αὐτόν in E; ceterum ταὐτό supra III, 1, 30. sine ulla codicum varietate legitur, pari modo Thuc. IV, 64. Etiam poetas Atticos utrumque agnoscere docet Poppo, comp. Elmsl. ad Soph. O. R. 734.

ἐπ' ἐξόδῳ ἐθύετο] ABD vitiose exhibent ἐπ' ἐξόδου ἐθ. Cf. §. 13. θυομένοις δὲ ἐπὶ τῇ ἀφόδῳ. §. 19. III, 5, 18. V, 6, 16. 22. VI, 6, 35: ἐθύετο ἐπὶ τῇ πορείᾳ. De praepositione ἐπί v. nos in Gr. T. II. §. 612, 3. c. (Gr. schol. §. 296. II.)

τὰ ἱερὰ καλὰ ἐγένετο] Sic ABDE; reliqui codd. omittunt καλά. Eis assensi sunt

ἔπεσον, ἑκάστους ἔθαψαν· ἤδη γὰρ ἦσαν πεμπταῖοι, καὶ
οὐχ οἷόν τε ἀναιρεῖν ἔτι ἦν· ἐνίους δὲ τοὺς ἐκ τῶν ὁδῶν
συνενεγκόντες ἔθαψαν ἐκ τῶν ὑπαρχόντων ὡς ἐδύναντο
κάλλιστα· οὓς δὲ μὴ εὕρισκον, κενοτάφιον αὐτοῖς ἐποίη-
10 σαν μέγα καὶ στεφάνους ἐπέθεσαν. Ταῦτα δὲ ποιήσαν-
τες ἀνεχώρησαν ἐπὶ τὸ στρατόπεδον. Καὶ τότε μὲν δει-
πνήσαντες ἐκοιμήθησαν. Τῇ δὲ ὑστεραίᾳ συνῆλθον οἱ
στρατιῶται πάντες· συνῆγε δὲ μάλιστα Ἀγασίας ὁ Στυμ-
φάλιος, λοχαγός, καὶ Ἱερώνυμος Ἠλεῖος, λοχαγός, καὶ
11 ἄλλοι οἱ πρεσβύτατοι τῶν Ἀρκάδων. Καὶ δόγμα ἐποιή-
σαντο, ἐάν τις τοῦ λοιποῦ μνησθῇ δίχα τὸ στράτευμα

ἐδύναντο] ἠδύναντο B, v. var. scr. III, 1, 11. — κάλλιστα] μάλιστα ABDE. — ἐποίησαν μέγα] v. adn. — §. 10. συνῆγε δὲ μάλιστα] sic ABE pro συνῆγον δὲ αὐτοὺς μ. — Ἀγασίας ὁ Στ. λοχαγός] ὁ Ἀγ. τε καὶ ὁ Στ. λοχαγός A; ὁ Ἀγ. καὶ ὁ Στ. λοχαγοί B, sed omissis λοχαγὸς καὶ Ἱερ. Ἠλ.; Ἀγ. ὁ Στ. ὁ λοχαγός L; reliqui Ἀγ. Στ. ὁ λ.; Dind. Ἀγ. τε Στ. λ. — ἄλλοι οἱ] sic A; οἱ ἄλλοι οἱ B; reliqui ἄλλοι. — §. 11. τετελευτήκει] ἐτετελευτήκει B, at v. ad IV,

Schneiderus, Poppo, Krügerus, qui observavit Xenophontem semper quidem dicere τὰ ἱερά ἐστι καλά (ut I, 8, 15. II, 2, 3. IV, 3, 9. V, 6, 29. VI, 5, 21. VII, 2, 17. 8, 10.), nunquam tamen formulae τὰ ἱερὰ γίγνεται addidisse καλά (cf. II, 2, 3. VI, 4, 13. 14. 16. 18. 19. 22. 5, 2. 6, 36. Hell. IV, 8, 36. VI, 5, 49.), parique modo dici τὰ διαβατήρια γίγνεται (Thuc. V, 55. 116. Sturz. L. X. T. I. p. 674.). At primum Cyrop. II, 4, 18. sine ulla scripturae varietate legitur: γίγνεται τῷ Κύρῳ τὰ ἱερὰ ἐπὶ τὸν Ἀρμένιον ἰέναι καλά, itemque Anab. VI, 5, 8: καὶ ἐγένετο ἐπὶ τοῦ πρώτου καλὰ τὰ σφάγια; deinde Schaeferus in L. Bosii Ellips. p. 213. docet Herodotum in hac locutione τὰ ἱερὰ γίγνεται addere χρηστά, ἐπιτήδεα, καταθύμια. Quibus ductus rationibus ab optimorum codicum auctoritate recedere nolui.

ἦσαν πεμπταῖοι] quintum diem iacebant mortui.

ἀναιρεῖν] Usitatius in hac re (caesos ad sepulturam tollere) est medium ἀναιρεῖσθαι. V. Sturz. L. X. T. I. p. 194. et 195.

τοὺς ἐκ τῶν ὁδῶν συνενεγκόντες] H. e. τοὺς ἐν ταῖς ὁδοῖς ὄντας ἐξ αὐτῶν (τῶν ὁδῶν) συνενεγκόντες. V. ad I, 1, 5.

ἐκ τῶν ὑπαρχόντων] pro praesentibus facultatibus. Cf. ad III, 2, 3.

κενοτάφιον] „Monumentum in honorem atque memoriam mortuorum, eorum in primis, qui vel in acie desiderati vel naufragio erant amissi, mos erat antiquis exstruere. Nec insepultis tantum, sed etiam beneficiorum quorundam insigniorum auctoribus, quorum corpora iam antea sepulcris fuerant condita, tumulos eiusmodi ponere solebant. Dionys. Hal. A. R. I, 54. Hom. Il. η, 331. Ael. Lamprid. in

ποιεῖν, θανάτῳ αὐτὸν ζημιοῦσθαι, καὶ κατὰ χώραν ἀπιέναι, ᾗπερ πρόσθεν εἶχε τὸ στράτευμα, καὶ ἄρχειν τοὺς πρόσθεν στρατηγούς. Καὶ Χειρίσοφος μὲν ἤδη τετελευτήκει φάρμακον πιὼν πυρέττων· τὰ δ' ἐκείνου Νέων Ἀσιναῖος παρέλαβε.

Μετὰ δὲ ταῦτα ἀναστὰς εἶπε Ξενοφῶν· Ὦ ἄνδρες 12
στρατιῶται, τὴν μὲν πορείαν, ὡς ἔοικε, δῆλον ὅτι πεζῇ ποιητέον· οὐ γάρ ἔστι πλοῖα· ἀνάγκη δὲ πορεύεσθαι ἤδη· οὐ γὰρ ἔστι μένουσι τὰ ἐπιτήδεια. Ἡμεῖς οὖν, ἔφη, θυσόμεθα· ὑμᾶς δὲ δεῖ παρασκευάζεσθαι ὡς μαχουμένους, εἴ ποτε καὶ ἄλλοτε· οἱ γὰρ πολέμιοι ἀνατεθαῤῥήκασιν. Ἐκ τούτου ἐθύοντο οἱ στρατηγοί, μάντις δὲ παρῆν 13

5, 15.; in eo, quod deteriores codd. habent, *τετελευτήκοι*, latet *τετελευτήκει*. — *Νέων Ἀσιν.*] sic AB pro *Ν. ὁ Ἀσ.* — *παρέλαβε*] sic ABDEN pro *παρελάμβανε*. — §. 12. *ἀναστάς*] sic AE pro *ἐξαναστάς*; *ὁ Ξεν. ἐξαναστὰς εἶπεν* B. — *Ἡμεῖς οὖν*] sic ABE pro *ἡμ. μὲν οὖν*, v. ad III, 4, 7. — *ἔφη*] sic ABEQ; reliqui om., v. ad I, 6, 10. — *ἀνατεθαῤῥήκασιν*] sic ABD pro *ἀνατεθαρσ.*, v. var. scr. I, 7, 2.

Severo c. 63. p. 1035. et Vopisc. in Floriano c. 2. p. 622. ed. Lugd. Bat." HUTCHINS.

αὐτοῖς] V. ad I, 9, 29.

ἐποίησαν μέγα] Sic ABD; reliqui codd. post haec verba addunt *καὶ πυρὰν μεγάλην*. Iam Zeunio ea suspecta visa sunt, quia rogum cum cenotaphiis exstructum apud alium scriptorem non legerat. Etiam Schneiderus haec verba ut spuria uncis seclusit, Poppo plane exterminavit, a Dindorfio contra plane intacta relicta sunt.

στεφάνους] „De hac re v. Goens. de cenotaphiis p. 83." ZEUN.

§. 10. *Στυμφάλιος*] V. ad III, 1, 31.

§. 11. *ἐὰν — μνησθῇ*] Post praeteritum pro vulgari *εἰ μνησθείη* dictum. V. ad I, 3, 14. De *τοῦ λοιποῦ* v. ad II, 2, 5.; de *μνησθῆναι* cum infinitivo iuncto v. ad III, 2, 39.

κατὰ χώραν ἀπιέναι — τὸ στράτευμα] ut exercitus eundem ordinem teneret, quem antea tenuisset, h. e. ut quisque eum locum atque ordinem in exercitu teneret, quem antea tenuisset. V. Sturz. L. X. T. IV. p. 575. Vocabulum *τὸ στράτευμα* et ad *ἀπιέναι* et ad *εἶχε* pertinet.

φάρμακον πιὼν πυρέττων] quia febri laborans medicamentum sumpserat. Alii *φάρμακον* venenum interpretantur; Halbkartus sic vertit: *der ohngeachtet der angewendeten Arzneimittel schon an einem Fieber gestorben war.* Quod si Xenophon notare voluisset, participio sine dubio particulam concessivam additurus fuit.

ἐκείνου] Exspectes *αὐτοῦ*; at v. ad IV, 3, 20. De Neone Asinaeo v. ad V, 6, 36.

§. 12. *ἤδη*] cum vi in clausula positum. V. ad I, 8, 16.

εἴ ποτε καὶ ἄλλοτε] si

Ἀρηξίων Ἀρκάς· ὁ δὲ Σιλανὸς ὁ Ἀμβρακιώτης ἤδη ἀπο-
δεδράκει πλοῖον μισθωσάμενος ἐξ Ἡρακλείας. Θυομένοις
14 δὲ ἐπὶ τῇ ἀφόδῳ οὐκ ἐγίγνετο τὰ ἱερά. Ταύτην μὲν οὖν
τὴν ἡμέραν ἐπαύσαντο. Καί τινες ἐτόλμων λέγειν, ὡς ὁ
Ξενοφῶν βουλόμενος τὸ χωρίον οἰκίσαι πέπεικε τὸν
15 μάντιν λέγειν, ὡς τὰ ἱερὰ οὐ γίγνεται ἐπὶ ἀφόδῳ. Ἐν-
τεῦθεν κηρύξας τῇ αὔριον παρεῖναι ἐπὶ τὴν θυσίαν τὸν
βουλόμενον, καί, μάντις εἴ τις εἴη, παραγγείλας παρεῖναι
ὡς συνθεασόμενον τὰ ἱερά, ἔθυε· καὶ ἐνταῦθα παρῆσαν
16 πολλοί. Θυομένων δὲ πάλιν εἰς τρὶς ἐπὶ τῇ ἀφόδῳ, οὐκ
ἐγίγνετο τὰ ἱερά. Ἐκ τούτου χαλεπῶς εἶχον οἱ στρατιῶ-
ται· καὶ γὰρ τὰ ἐπιτήδεια ἐπέλιπεν, ἃ ἔχοντες ἦλθον, καὶ
ἀγορὰ οὐδεμία παρῆν.

17 Ἐκ τούτου ξυνελθόντων εἶπε πάλιν Ξενοφῶν· Ὦ
ἄνδρες, ἐπὶ μὲν τῇ πορείᾳ, ὡς ὁρᾶτε, τὰ ἱερὰ οὔπω γί-
γνεται· τῶν δ' ἐπιτηδείων ὁρῶ ὑμᾶς δεομένους· ἀνάγκη
18 οὖν μοι δοκεῖ εἶναι θύεσθαι περὶ αὐτοῦ τούτου. Ἀνα-
στὰς δέ τις εἶπε· Καὶ εἰκότως ἄρα ἡμῖν οὐ γίγνεται τὰ

§. 13. *ἱερά*] Deteriores codd. addunt *καλά*, v. ad §. 9. — §. 14. *οἰκίσαι*] sic DEFG pro *οἰκῆσαι*; cf. §. 7. — *πέπεικε*] v. adn. — §. 15. *κηρύξας*] sic ABE pro *κηρύξας Ξενοφῶν*. — §. 16. *Θυομένων*] *θυομένῳ* AE. — *ἐγίγνετο*] *ἐγίνετο* B, v. var. scr. II, 2, 3. — §. 17. *ξυνελθόντων*] sic AB pro *συνελθ.*, v. ad II, 1, 17. — *εἶναι*] sic ABE; reliqui om. Cf. ad VII, 2, 16. — §. 18. *ὁ ἐκ B.*] v. adn. — *καὶ τριήρεις ἔχων*] sic AB pro *ἔχων κ. τρ.* — §. 19. *ἀνάγκη*]

unquam alias. De *καί* addito v. ad I, 3, 15.

§. 13. *ὁ δὲ Σιλανὸς ὁ Ἀμβρ.*] Prior articulus Silanum ut iam notum ex superioribus hominem notat. VI, 5, 8. *ὁ Ἀρηξίων ὁ μάντις* (ex AB). De Ambracia v. ad I, 7, 18.; de Heraclea ad VI, 2, 1.; de *ἐπὶ τῇ ἀφόδῳ* ad §. 9.

§. 14. *ἐπαύσαντο*] quieverunt. V. Sturz. L. X. T. III. p. 478.

πέπεικε] Valckenarius ad Nov. Test. p. 400. legendum coniecit *πεπείκει*, at v. ad I, 3, 14.

§. 15. *παρεῖναι ἐπὶ τὴν θυσίαν*] V. ad I, 2, 2.

μάντις εἴ τις εἴη] V. ad I, 9, 20.

παραγγείλας παρεῖναι] Scil. *αὐτόν*, quo referendus est accusativus *συνθεασόμενον*. V. ad III, 5, 5. *ὑφιέντας*.

§. 16. *Θυομένων*] V. ad I, 2, 17. Sic §. 17. *ξυνελθόντων*.

§. 18. *Καὶ εἰκότως ἄρα*] V. ad II, 2, 3.

ὡς γὰρ — ἤκουσά τινος, ὅτι Κλέανδρος — μέλλει] Per genus quoddam attractionis dictum pro: *ὡς — ἤκουσά τινος, Κλέανδρος — μέλλει*. Enuntiatio primaria nonnunquam cum enuntiatione secundaria ita confunditur, ut illa huius structurae subiiciatur. V. nos in Gr. T. II.

ἱερά· ὡς γὰρ ἐγώ, ἀπὸ τοῦ αὐτομάτου χθὲς ἥκοντος πλοίου, ἤκουσά τινος, ὅτι Κλέανδρος, ὁ ἐκ Βυζαντίου ἁρμοστής, μέλλει ἥξειν πλοῖα καὶ τριήρεις ἔχων. Ἐκ τού- 19
του δὲ ἀναμένειν μὲν πᾶσιν ἐδόκει· ἐπὶ δὲ τὰ ἐπιτήδεια ἀνάγκη ἦν ἐξιέναι. Καὶ ἐπὶ τούτῳ πάλιν ἐθύετο εἰς τρίς, καὶ οὐκ ἐγίγνετο τὰ ἱερά. Καὶ ἤδη καὶ ἐπὶ σκηνὴν ἰόντες τὴν Ξενοφῶντος ἔλεγον, ὅτι οὐκ ἔχοιεν τὰ ἐπιτήδεια. Ὁ δ' οὐκ ἂν ἔφη ἐξαγαγεῖν, μὴ γιγνομένων τῶν ἱερῶν.

Καὶ πάλιν τῇ ὑστεραίᾳ ἐθύετο, καὶ σχεδόν τι πᾶσα 20
ἡ στρατιὰ διὰ τὸ μέλειν ἅπασιν ἐκυκλοῦντο περὶ τὰ ἱερά· τὰ δὲ θύματα ἐπιλελοίπει. Οἱ δὲ στρατηγοὶ ἐξῆγον μὲν οὔ, συνεκάλεσαν δέ. Εἶπεν οὖν Ξενοφῶν· Ἴσως οἱ 21
πολέμιοι συνειλεγμένοι εἰσὶ καὶ ἀνάγκη μάχεσθαι· εἰ οὖν καταλιπόντες τὰ σκεύη ἐν τῷ ἐρυμνῷ χωρίῳ ὡς εἰς μάχην παρεσκευασμένοι ἴοιμεν, ἴσως ἂν τὰ ἱερὰ προχωροίη ἡμῖν. Ἀκούσαντες δ' οἱ στρατιῶται ἀνέκραγον, ὡς 22
οὐδὲν δέον εἰς τὸ χωρίον ἄγειν, ἀλλὰ θύεσθαι ὡς τά-

III. Ἀκούσαντες ταῦτα καὶ δεξιὰς δόντες καὶ λαβόντες ἀπήλαυνον· καὶ πρὸ ἡμέρας ἐγένοντο ἐπὶ στρατοπέδῳ καὶ ἀπήγγειλαν ἕκαστοι τοῖς πέμψασιν. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, ὁ μὲν Ἀρίσταρχος πάλιν ἐκάλει τοὺς στρατηγοὺς καὶ λοχαγούς· τοῖς δ' ἔδοξε τὴν μὲν πρὸς Ἀρίσταρχον ὁδὸν ἐᾶσαι, τὸ δὲ στράτευμα συγκαλέσαι. Καὶ συνῆλθον πάντες πλὴν οἱ Νέωνος· οὗτοι δὲ ἀπεῖχον ὡς δέκα στάδια. Ἐπεὶ δὲ συνῆλθον, ἀναστὰς Ξενοφῶν εἶπε

1
2
3

sic EN; πράξωμεν ABD; reliqui διαπράξωμαι aut διαπράξομαι. — ὑπό] v. adn. — σεαυτοῦ] sic AB pro σαυτοῦ. — ἐάν] sic AB pro ἄν. — ἀπιέναι βούλ.] sic AB pro β. ἀπ. — παρὰ σέ] sic ABD pro πρός σε. — §. 38. κτᾶσθαι] sic ABE pro κτήσασθαι. — Βισάνθην] Βισάνδην ABD.

Cap. III. §. 1. ἐπὶ στρατ.] v. adn. — §. 2. καὶ λοχαγούς] om. BE.

λος ἀνθρώπων. Infra VII, 6, 33., ubi v. adn. Antiphon or. V. p. 133, 35: ὁ ἀνὴρ διὰ τῆς αὐτῆς βασάνου ἰὼν ὑπ' ἐμοῦ, eodem modo a me tortus. Platon. Menex. p. 244. A. τῶν ἐν τούτῳ τῷ πολέμῳ τελευτησάντων ὑπ' ἀλλήλων μνείαν ἔχειν (commemorari). Comparari possunt etiam ea, quae contulimus ad Commentar. II, 1, 34. τὴν ὑπ' Ἀρετῆς Ἡρακλέους παίδευσιν.

§. 38. ἐνδιφρίους] Videtur esse mensae sodalis. Cf. §. 33.

ὠνήσομαι Θρακίῳ νόμῳ] Herodot. V, 6: ὠνέονται (οἱ Θρᾷκες) τὰς γυναῖκας παρὰ τῶν γονέων χρημάτων μεγάλων. „Eundem morem, ut constat, orientis populi habuerunt atque etiam Graeci antiqui. Aristot. Polit. II, 8: ἐσιδηροφοροῦντό τε γὰρ οἱ Ἕλληνες καὶ τὰς γυναῖκας ἐωνοῦντο παρ' ἀλλήλων." WEISK. „Add. Tacit. German. c. 13." LION. „Cf. Mannert. VII. p. 24." BORN.

Βισάνθην] „τὴν ἐν Ἑλλησπόντῳ dicit Herod. VII, 137.; nam Hellesponti nomine interdum etiam Propontidem complectitur. Erat Samiorum colonia (Mela II, 2, 69.), egregio portu instructa (Procop. de aedif. IV, 9.). Posteriore aetate Rhaedestus appellata est (v. l. d. et Ptolem. III, 9.), hodie *Rodosto*." KRÜG.

Cap. III. §. 1. ἀπήλαυνον] avehebantur (equitantes discedebant). V. nos in Gr. T. II. §. 392. c. (Gr. schol. §. 249, 1.)

ἐπὶ στρατοπέδῳ] Sic scripsi cum A et B pro ἐπὶ τῷ στρατ. Uti dicitur ἐπὶ θύραις et ἐπὶ ταῖς θύραις, sic ἐπὶ στρατοπέδῳ et ἐπὶ τῷ στρ. recte dici videtur. Cf. var. scr. II, 5, 31.

§. 2. τοὺς στρατηγοὺς καὶ λοχ.] V. ad II, 2, 8.

τάδε· Ἄνδρες, διαπλεῖν μὲν, ἔνθα βουλόμεθα, Ἀρίσταρχος τριήρεις ἔχων κωλύει, ὥςτε εἰς πλοῖα οὐκ ἀσφαλὲς ἐμβαίνειν· οὗτος δὲ αὐτὸς κελεύει εἰς Χεῤῥόνησον βίᾳ διὰ τοῦ ἱεροῦ ὄρους πορεύεσθαι· ἢν δὲ κρατήσαντες τούτου ἐκεῖσε ἔλθωμεν, οὔτε πωλήσειν ἔτι ὑμᾶς φησιν, ὥςπερ ἐν Βυζαντίῳ, οὔτε ἐξαπατήσεσθαι ἔτι ὑμᾶς, ἀλλὰ λήψεσθαι μισθόν, οὔτε περιόψεσθαι ἔτι, ὥςπερ νυνί, δεο-
4 μένους τῶν ἐπιτηδείων. Οὗτος μὲν ταῦτα λέγει· Σεύθης δέ φησιν, ἂν πρὸς ἐκεῖνον ἴητε, εὖ ποιήσειν ὑμᾶς. Νῦν οὖν σκέψασθε, πότερον ἐνθάδε μένοντες τοῦτο βου-
5 λεύσεσθε, ἢ εἰς τὰ ἐπιτήδεια ἐπανελθόντες. Ἐμοὶ μὲν οὖν δοκεῖ, ἐπεὶ ἐνθάδε οὔτε ἀργύριον ἔχομεν, ὥςτε ἀγοράζειν, οὔτε ἄνευ ἀργυρίου ἐῶσι λαμβάνειν τὰ ἐπιτήδεια, ἐπανελθόντας εἰς τὰς κώμας, ὅθεν οἱ ἥττους ἐῶσι λαμβάνειν, ἐκεῖ ἔχοντας τὰ ἐπιτήδεια ἀκούοντας, ὅ τι τις

§. 3. *Ἀρίσταρχος*] sic ABDE pro *Ἀρ. ὅδε.* — *οὗτος δὲ αὐτός*] v. adn. — *κελεύει εἰς Χ.*] sic AB pro *εἰς Χ. κελ.* — *ἔτι ὑμᾶς φησιν*] sic B; *ἡμᾶς ἔτι φησίν* A; *ἔτι φησὶν ἡμᾶς* E; reliqui *ἔτι φησὶν ὑμᾶς.* — *μισθόν, οὔτε*] sic BDE pro *μισθὸν μᾶλλον, οὔτε.* — *δεομένους*] sic AB pro *ἐνδεομένους*, quod sane habet, quo se commendet. — §. 4. *ἴητε*] sic ABDE pro *ἦτε.* — *τοῦτο βουλ.*] *τούτου βουλ.* AB; id Castalio mutavit in *περὶ τούτου β.* — §. 5. *δοκεῖ*] om. A. — *τὰ ἐπιτήδεια*] om. AB. — *τὰ ἐπιτ. ἀκούοντας*] sic ABE pro *τὰ ἐπιτήδεια καὶ ἀκ.* — §. 6. *Καὶ ὅτῳ ἔφη*] sic DE;

§. 3. *ἔνθα*] quo. V. ad II, 3, 19.

οὗτος δὲ αὐτός] Zeunio praeeunte editores cum FGHI et Aldina scripserunt *οὗτος δὲ ὁ αὐτός*, hic autem idem. At quum reliqui omnes codd., in eisque omnes melioris notae, articulum ὁ ignorent, ego eum recipere non sum ausus, praesertim quum scripturae *οὗτος δὲ αὐτός* sententia haudquaquam absurda sit; haec enim verba antecedentibus quodammodo opponuntur. Traiectionem Graecorum Aristarchus impediebat per naves, ipse autem iussit Graecos iter terrestre facere.

διὰ τοῦ ἱεροῦ ὄρους] V. VII, 1, 14.

πωλήσειν] VII, 2, 6.

ἐξαπατήσεσθαι — ὑμᾶς] circumventum iri vos. V. ad I, 4, 8.

περιόψεσθαι — δεομένους] Scil. *ὑμᾶς*. „Nota mutationem subiecti, quod in *πωλήσειν* est Aristarchus, in *ἐξαπατήσεσθαι* et *λήψεσθαι* Graeci, in *περιόψεσθαι* rursus Aristarchus." POPPO. De subito mutato subiecto v. ad I, 4, 5. De participio verbo *περιορᾶν* addito v. Buttm. §. 144, 6. Rost. §. 184. add. 2. ee. Kühner. T. II. §. 660. V. (Gr. schol. §. 310, 4. e.) Infra VII, 7, 40. 46.

§. 4. *ἂν πρὸς ἐκεῖνον ἴητε*] Gravius dictum pro *ἂν πρὸς αὐτὸν ἴητε*, quo magis Seuthes Aristarcho opponeretur. V. ad IV, 3, 20.

ὑμῶν δεῖται αἱρεῖσθαι, ὅ τι ἂν ὑμῖν δοκῇ κράτιστον εἶναι. Καὶ ὅτῳ, ἔφη, ταῦτα δοκεῖ, ἀράτω τὴν χεῖρα. Ἀνέτειναν 6
ἅπαντες. Ἀπιόντες τοίνυν, ἔφη, συσκευάζεσθε, καὶ ἐπειδὰν παραγγείλῃ τις, ἕπεσθε τῷ ἡγουμένῳ.

Μετὰ ταῦτα Ξενοφῶν μὲν ἡγεῖτο, οἱ δ' εἵποντο. Νέων 7
δὲ καὶ παρ' Ἀριστάρχου ἄλλοι ἔπειθον ἀποτρέπεσθαι· οἱ δ' οὐχ ὑπήκουον. Ἐπεὶ δ' ὅσον τριάκοντα σταδίους προεληλύθεσαν, ἀπαντᾷ Σεύθης. Καὶ ὁ Ξενοφῶν ἰδὼν αὐτὸν προσελάσαι ἐκέλευσεν, ὅπως ὅ τι πλείστων ἀκουόντων εἴποι αὐτῷ ἃ ἐδόκει συμφέρειν. Ἐπεὶ δὲ προσῆλθεν, εἶπε 8
Ξενοφῶν· Ἡμεῖς πορευόμεθα, ὅπου μέλλει ἕξειν τὸ στράτευμα τροφήν· ἐκεῖ δ' ἀκούοντες καὶ σοῦ καὶ τῶν τοῦ Λακωνικοῦ αἱρησόμεθα ἃ ἂν κράτιστα δοκῇ εἶναι. Ἢν οὖν ἡμῖν ἡγήσῃ, ὅπου πλεῖστά ἐστιν ἐπιτήδεια, ὑπὸ σοῦ νομιοῦμεν ξενίζεσθαι. Καὶ ὁ Σεύθης ἔφη· Ἀλλὰ 9

καὶ ὅτῳ γε ἔφη A; reliqui καὶ ὅτῳ ὑμῖν. — ἀράτω] ἀνατεινάτω A. — ἅπαντες] A pro πάντες. — παραγγείλῃ] παραγγέλῃ A; Dind. παραγγέλλῃ. — §. 7. Μετὰ ταῦτα] sic AD pro μ. τοῦτο. — τριάκοντα] HIKL habent πεντήκοντα, quod Krüg. ob 2, 17. praetulit. Cf. ad VI, 3, 2. — ὅ τι] sic ABE; reliqui om. — §. 8. εἶπε Ξενοφ.] sic AB pro εἶπεν ὁ Ξ. — ἕξειν τὸ στράτευμα] sic AB pro τὸ στρ. ἕξ. — δοκῇ] sic ABD; δοκεῖ E; reliqui δοκοίη. — ξενίζεσθαι] sic ABDMQ pro ἐξενίσθαι, quod temere a Dind., Born., Krüg. receptum est. V. ad I, 1, 1. — §. 9. ἔφη] v. adn.

τοῦτο βουλεύσεσθε] „Sc. utrum Aristarcho parendum, an eundum sit ad Seuthen." WEISK.

εἰς τὰ ἐπιτήδεια ἐπανελθόντες] H. e. reversi in loca, ubi commeatum habere poteritis. V. §. 5. Intelligit loca, quorum VII, 2, 1. mentio facta est.

§. 5. ἐῶσι] Lacedaemonii.

οἱ ἥττους] „incolae vicorum, qui vobis non pares sunt (viribus)." ZEUN.

ὅ τι τις ὑμῶν δεῖται] „ad quam rem uterque (Seuthes et Aristarchus) opera vestra uti velit." ZEUN. De accusativo ὅ τι, ad quam rem, v. nos in Gr. T. II. §. 549. not. 1. (Gr. schol. §. 278, 4.)

§. 6. Ἀνέτειναν] De asyndeto v. ad III, 2, 33. De v. τῷ ἡγουμένῳ v. ad II, 4, 26.

§. 7. καὶ παρ' Ἀριστάρχου ἄλλοι] et alii ab Aristarcho missi. De ὅσον, circiter, v. ad I, 8, 6.; προσελάσαι et §. 8. προσῆλθεν referenda sunt ad Seuthen; de ὅ τι πλείστων v. ad I, 1, 6.

αὐτῷ] Xenophonti.

§. 8. πορευόμεθα] V. ad II, 5, 17. Supple ἐκεῖσε.

τῶν τοῦ Λακωνικοῦ] Schneiderus intelligit eos, qui antea dicebantur παρ' Ἀριστάρχου ἄλλοι; Krügero τῶν neutrum videtur: quae Laco offert, quum τῶν παρὰ τοῦ exspectet, si τῶν pro masculino accipiendum sit.

§. 9. ἔφη] Sic A et B pro εἶ-

οἶδα κώμας πολλὰς ἀθρόας καὶ πάντα ἐχούσας τὰ ἐπιτήδεια, ἀπεχούσας ἡμῶν, ὅσον διελθόντες ἂν ἡδέως ἀριστῴητε. Ἡγοῦ τοίνυν, ἔφη ὁ Ξενοφῶν. Ἐπεὶ δ' ἀφίκοντο
10 εἰς αὐτὰς τῆς δείλης, συνῆλθον οἱ στρατιῶται, καὶ εἶπε Σεύθης τοιάδε· Ἐγώ, ὦ ἄνδρες, δέομαι ὑμῶν στρατεύεσθαι σὺν ἐμοὶ καὶ ὑπισχνοῦμαι ὑμῖν δώσειν τοῖς στρατιώταις Κυζικηνόν, λοχαγοῖς δὲ καὶ στρατηγοῖς τὰ νομιζόμενα· ἔξω δὲ τούτων τὸν ἄξιον τιμήσω. Σῖτα δὲ καὶ ποτά, ὥσπερ καὶ νῦν, ἐκ τῆς χώρας λαμβάνοντες ἕξετε· ὁπόσα δ' ἂν ἁλίσκηται, ἀξιώσω αὐτὸς ἔχειν, ἵνα ταῦτα
11 διατιθέμενος ὑμῖν τὸν μισθὸν πορίζω. Καὶ τὰ μὲν φεύγοντα καὶ ἀποδιδράσκοντα ἡμεῖς ἱκανοὶ ἐσόμεθα διώκειν καὶ μαστεύειν· ἂν δέ τις ἀνθιστῆται, σὺν ὑμῖν πειρασό-
12 μεθα χειροῦσθαι. Ἐπήρετο ὁ Ξενοφῶν· Πόσον δὲ ἀπὸ θαλάσσης ἀξιώσεις συνέπεσθαί σοι τὸ στράτευμα; Ὁ δ' ἀπεκρίνατο· Οὐδαμῇ πλεῖον ἑπτὰ ἡμερῶν, μεῖον δὲ πολλαχῇ.

ἀριστῴητε] *ἀριστώητε* B E; *ἀριστᾶτε* A; reliqui *ἀριστῶμεν*. — §. 10. *εἶπε Σεύθης*] *εἶπεν ὁ Σ.* B. — *ὑμῖν δώσειν τοῖς στρατιώταις*] sic A B D E; *ὑμῖν τοῖς στρατιώταις δ.* N; reliqui *ὑμῖν τοῦ μηνὸς δώσειν*; de omissis *τοῦ μηνός* cf. 2, 36. — *λοχαγοῖς δέ*] sic A B pro *λοχαγοῖς τε*. — *ἁλίσκηται*] *ἁλίσκητε* A D E. — *αὐτός*] *αὐτόν* A B D E, male. — §. 11. *ἄν*] sic A B pro *ἤν*. — *ἀνθιστῆται*] *ἀνθίσταται* A B; vulgo male *ἀνθίστηται*. — §. 12. *ὁ Ξ.*] sic A B I K L; reliqui om. *ὁ*. — *θαλάσσης*] sic A B pro *θαλάττης*; v. var. scr. IV, 7, 21. — *μεῖον δέ*] *δέ* om. A. — §. 13. *Μετὰ ταῦτα*] *μετὰ δὲ ταῦτα* Stephanus et for-

πεν. Plurimis quidem locis *ἔφη* mediae orationi interiicitur, sed non raro etiam, uti *εἶπεν*, orationi praemittitur, ut Commentar. II, 2, 7: *πρὸς ταῦτα ὁ νεανίσκος ἔφη· Ἀλλά τοι*. V. quem Krügerus laudavit Bornemannum ad Symp. p. 152.

Ἀλλά] V. ad I, 7, 6. De *πολλὰς ἀθρόας* v. ad V, 2, 1.

§. 10. *Κυζικηνόν*] V. ad V, 6, 23.

λοχαγοῖς δὲ καὶ στρατηγοῖς] Ne articulum desideres, cf. ad III, 5, 7.

τὰ νομιζόμενα] centuriones duplum, praetores quadruplum de more accipiebant. V. Krügerum de auth. p. 50. not. 6.

διατιθέμενος] vendens. V. ad VI, 6, 37.

§. 11. *διώκειν*] „ob velocitatem equitatus", *μαστεύειν* „ob notitiam locorum." ZEUN. De hoc voc. v. ad III, 1, 43.

§. 12. *θαλάσσης*] Propontidis.

§. 13. *χειμὼν γὰρ εἴη*] V. ad IV, 6, 13. De seq. *καὶ οὔτε — τέ* v. ad IV, 3, 6.

εὕρημα] V. ad II, 3, 18.

§. 14. *ἐπιψηφιζέτω*] Sic Dind. cum A et B; *ἐπιψηφιζέσθω* E; reliqui *ἐπιψηφίζετε*; Krügerus ex Küsteri de verbis med. II, 9. emendatione edidit *ἐπιψηφίζεσθε*. *Ἐπιψηφίζειν* est id, quod Latini dicunt in suffragium mitte-

Μετὰ ταῦτα ἐδίδοτο λέγειν τῷ βουλομένῳ· καὶ ἔλεγον πολλοὶ κατὰ ταὐτά, ὅτι παντὸς ἄξια λέγει Σεύθης· χειμὼν γὰρ εἴη καὶ οὔτε οἴκαδε ἀποπλεῖν τῷ τοῦτο βουλομένῳ δυνατὸν εἴη, διαγενέσθαι τε ἐν φιλίᾳ οὐχ οἷόν τ' εἴη, εἰ δέοι ὠνουμένους ζῆν, ἐν δὲ τῇ πολεμίᾳ διατρίβειν καὶ τρέφεσθαι ἀσφαλέστερον μετὰ Σεύθου ἢ μόνους, ὄντων ἀγαθῶν τοσούτων· εἰ δὲ μισθὸν προςλήψοιντο, εὕρημα ἐδόκει εἶναι. 13 *Ἐπὶ τούτοις εἶπε Ξενοφῶν· Εἴ τις ἀντιλέγει, λεγέτω· εἰ δὲ μή, ἐπιψηφιζέτω ταῦτα. Ἐπεὶ δὲ οὐδεὶς ἀντέλεγεν, ἐπεψήφισε· καὶ ἔδοξε ταῦτα. Εὐθὺς δὲ Σεύθῃ εἶπε ταῦτα, ὅτι συστρατεύσοιντο αὐτῷ.* 14

Μετὰ τοῦτο οἱ μὲν ἄλλοι κατὰ τάξεις ἐσκήνησαν, στρατηγοὺς δὲ καὶ λοχαγοὺς ἐπὶ δεῖπνον Σεύθης ἐκάλεσε, πλησίον κώμην ἔχων. 15 *Ἐπεὶ δ' ἐπὶ θύραις ἦσαν ὡς ἐπὶ δεῖπνον παριόντες, ἦν τις Ἡρακλείδης Μαρωνείτης·* 16

tasse cum eo collati ADIKL; certe nulla ex eís enotatur discrepantia. V. ad I, 1, 9. — *ταὐτά*] sic Muret. pro *ταῦτα.* — *λέγει*] *λέγοι* FGIK, Schaef. Melett. p. 102., Dind., Bornem.; v. ad I, 3, 14. — *χειμὼν γάρ*] *χ. μὲν γάρ* BE. — *τῷ τοῦτο βουλομένῳ*] sic AE; *τῷ τούτῳ β.* B; reliqui om. *τοῦτο.* — §. 14. *εἶπε Ξεν.*] *εἶπεν ὁ Ξεν.* A. — *ἐπιψηφιζέτω*] v. adn. — *ἐπεψήφισε*] sic AB pro *ἐπεψήφισαν.* — *Σεύθῃ*] *Σεύθης* ABH et Ald. — *εἶπε ταῦτα*] sic B; *εἶχε ταῦτα* A; reliqui om. *ταῦτα*, v. ad III, 5, 5. — §. 16. *παριόντες*] sic ABDEN pro *ἰόντες*.

re (i. e. populum ad suffragium ferendum vocare, sententias rogare, *stimmen lassen*), v. Popponem ad Thuc. Part. III. Vol. 4. p. 62 sq.; *ἐπιψηφίζεσθαι* autem suffragiis comprobare, quam notionem Schneiderus huic loco non convenire censet, dicens Xenophontem noluisse ipsum exercitum in suffragia mittere, sed alios id facere iussisse, ut omnem rei culpam a se alienaret, si quid in posterum minus placuisset Graecis. Haec optime disputata sunt; at id me male habet, quod paullo post legitur *ἐπεψήφισε*; nam sic sine dubio cum A et B legendum est, si antea cum eisdem codicibus legimus *ἐπιψηφιζέτω*. Hoc autem *ἐπεψήφισε* ad Xenophontem referendum videtur; quod si est, aegre desideramus *αὐτός* additum. Bornemannus ad *ἐπεψήφισε* pronomen indefinitum *τὶς* cogitatione supplendum censet; at id mihi admodum durum videtur.

συστρατεύσοιντο αὐτῷ] Facta est haec Graecorum cum Seuthe societas mense Novembri exeunte aut Decembri ineunte anni 400., uti Rennellius demonstravit.

§. 15. *ἐσκήνησαν*] V. ad IV, 5, 33.

§. 16. *ἦν τις Ἡρακλ.*] V. ad I, 9, 14.

Μαρωνείτης] *Μαρώνεια* fuit Thraciae urbs, a Grae-

οὗτος προσιὼν ἑνὶ ἑκάστῳ, οὕστινας ᾤετο ἔχειν τι δοῦ-
ναι Σεύθῃ, πρῶτον μὲν πρὸς Παριανούς τινας, οἳ πα-
ρῆσαν φιλίαν διαπραξόμενοι πρὸς Μήδοκον τὸν Ὀδρυ-
σῶν βασιλέα καὶ δῶρα ἄγοντες αὐτῷ τε καὶ τῇ γυναικί,
ἔλεγεν, ὅτι Μήδοκος μὲν ἄνω εἴη δώδεκα ἡμερῶν ἀπὸ
θαλάττης ὁδόν, Σεύθης δ', ἐπεὶ τὸ στράτευμα τοῦτο εἴ-
17 ληφεν, ἄρχων ἔσοιτο ἐπὶ θαλάττῃ. *Γείτων οὖν ὢν ἱκα-
νώτατος ἔσται ὑμᾶς καὶ εὖ καὶ κακῶς ποιεῖν. Ἢν οὖν
σωφρονῆτε, τούτῳ δώσετε, ὅ τι ἂν ἄγησθε· καὶ ἄμεινον
ὑμῖν διακείσεται, ἢ ἐὰν Μηδόκῳ τῷ πρόσω οἰκοῦντι
18 δῶτε.* Τούτους μὲν οὕτως ἔπειθεν. Αὖθις δὲ Τιμασίωνι
τῷ Δαρδανεῖ προσελθών, ἐπεὶ ἤκουσεν αὐτῷ εἶναι καὶ
ἐκπώματα καὶ ταπίδας βαρβαρικάς, ἔλεγεν, ὅτι νομίζοιτο,
ὁπότε ἐπὶ δεῖπνον καλέσαι Σεύθης, δωρεῖσθαι αὐτῷ τοὺς
κληθέντας. *Οὗτος δ' ἢν μέγας ἐνθάδε γένηται, ἱκανὸς
ἔσται σε καὶ οἴκαδε καταγαγεῖν καὶ ἐνθάδε πλούσιον ποι-*

ἐπεί] sic ABE pro ἐπειδή. — §. 17. ὅ τι ἂν ἄγησθε] sic scripsi e coni.; Born. e coni. edidit ὅ τι ἂν ἄγητε; ὅ τι ἂν αἰτῆται BDE; ὅ τι ἂν αἰτεῖται A; reliqui ὅ τι ἄγετε. — οὕτως] οὖν E; οὖν οὕτως B, v. ad I, 10, 18. — §. 18. ἤκουσεν] sic AB pro ἤκουεν. — ταπίδας] sic HIKL pro τάπιδας; v. ad §. 27. — καλέσαι] v. adn. — Οὗτος δ' ἢν] sic ABE pro οὑτοσὶ δ' ἄν. — καταγαγεῖν] sic AE pro κατά-

cis condita, inter Abdera et Doriscum sita (hodie *Maronia*).

ἑνὶ ἑκάστῳ, οὕστινας] H. e. ἑνὶ ἑκάστῳ τούτων, οὕστινας.

ἔχειν τι δοῦναι] Apte Hutchinsonus comparat Thuc. II, 97: κατεστήσαντο γὰρ (sc. οἱ Ὀδρυσῶν βασιλεῖς) τοὐναντίον τῆς Περσῶν βασιλείας τὸν νόμον, ὄντα μὲν καὶ τοῖς ἄλλοις Θρᾳξί, λαμβάνειν μᾶλλον ἢ διδόναι· καὶ αἴσχιον ἦν αἰτηθέντα μὴ δοῦναι ἢ αἰτήσαντα μὴ τυχεῖν· ὅμως δὲ κατὰ τὸ δύνασθαι (h. e. διὰ τὴν δύναμιν, Schol.) ἐπὶ πλέον αὐτῷ ἐχρήσαντο· οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα.

Παριανούς] V. ad VII, 2, 7. De Medoco v. ad VII, 2, 32.

ἄνω] V. ad VII, 1, 28.

ὅτι — εἴη —, ἐπεὶ — εἴληφεν, — ἔσοιτο — γείτων οὖν — ἔσται] Observa obliquae orationis formam cum rectae mixtam: cuius modi exempla apud Graecos scriptores non rara sunt. Cf. similia ad I, 3, 14.

§. 17. ἄμεινον ὑμῖν διακείσεται] Supple τοῦτο sc. τὸ ὑμᾶς τούτῳ δοῦναι. Verte: id melius vobis erit.

§. 18. καλέσαι] Dindorfius ex BDI recepit καλέσαιτο, quo eodem ducit scriptura codicis A καλαίσετο; sed recte docet Krügerus medium in hac formula non solere usurpari. Aliter res se habet III, 3, 1. VII, 2, 30. Hinc Lionus legendum coniecit καλέσαι ὁ Σεύθης. Haud scio, an scribendum sit καλέσειε Σεύθης.

οἴκαδε καταγαγεῖν] Κατάγειν proprie dicitur de

ἦσαι. Τοιαῦτα προὐμνᾶτο ἑκάστῳ προσιών. Προσελθὼν 19
δὲ καὶ Ξενοφῶντι ἔλεγε· Σὺ καὶ πόλεως μεγίστης εἶ, καὶ
παρὰ Σεύθῃ τὸ σὸν ὄνομα μέγιστόν ἐστι, καὶ ἐν τῇδε
τῇ χώρᾳ ἴσως ἀξιώσεις καὶ τείχη λαμβάνειν, ὥσπερ καὶ
ἄλλοι τῶν ὑμετέρων ἔλαβον, καὶ χώραν· ἄξιον οὖν σοι
καὶ μεγαλοπρεπέστατα τιμῆσαι Σεύθην. Εὔνους δέ σοι 20
ὢν παραινῶ· εὖ οἶδα γάρ, ὅτι, ὅσῳ ἂν μείζω τούτων
δωρήσῃ, τοσούτῳ μείζω ὑπὸ τούτου ἀγαθὰ πείσῃ. Ἀκού-
ων ταῦτα Ξενοφῶν ἠπόρει· οὐ γὰρ δὴ διαβεβήκει ἔχων
ἐκ Παρίου εἰ μὴ παῖδα καὶ ὅσον ἐφόδιον.
Ἐπεὶ δὲ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον τῶν τε Θρᾳκῶν οἱ 21
κράτιστοι τῶν παρόντων καὶ οἱ στρατηγοὶ καὶ οἱ λο-
χαγοὶ τῶν Ἑλλήνων καὶ εἴ τις πρεσβεία παρῆν ἀπὸ πό-
λεως, τὸ δεῖπνον μὲν ἦν καθημένοις κύκλῳ· ἔπειτα δὲ
τρίποδες εἰσηνέχθησαν πᾶσιν, οὗτοι δ' ἦσαν κρεῶν με-

γειν. — §. 19. *καὶ χώραν*] καὶ χώρας BN. — §. 20. *μείζω τούτων*] μ. τούτῳ FGIK; id perperam recepit Dind.; μ. τοῦτον A. — *Ξενοφ.*] sic AB pro ὁ Ξ. — *οὐ γὰρ δὴ διαβεβήκει*] οὐ γὰρ δὴ διεβεβήκει; reliqui οὐ γὰρ διαβεβήκει, quod recepit Dind. — §. 21. *τῶν παρόντων*] sic ABDE pro τῶν τότε παρ. — *καὶ οἱ λοχαγοί*] καὶ λοχαγοί BFGHIL et Ald.; K haec verba om. — *οὗτοι δ' ἦσαν*] v. adn.

exsulibus, qui in patriam reducuntur. V. Sturz. L. X. T. II. p. 671. Timasio autem exsul erat. V. supra V, 6, 23.

Τοιαῦτα προὐμνᾶτο] Talia suadens captabat benevolentiam. V. nos in Gr. T. II. §. 547. not. 3. (Gr. schol. §. 278. not. 1.) De asyndeto v. ad I, 10, 18.

§. 19. *ὥσπερ καὶ ἄλλοι τῶν ὑμετέρων*] „Videtur maxime intelligere Alcibiadem. V. Corn. Nep. Alcib. c. 7." ZEUN. „Cf. Hellen. II, 1, 25. et ibi annotata. Ibi similiter Alcibiadis τείχη memorantur in ora Thraciae." SCHNEID.

§. 20. *μείζω τούτων*] maiora quam illi, quos commemoravi.

ὅσον ἐφόδιον] quantum pecuniae satis esset ad viaticum. Infra VII, 8, 19. ἔχοντες πρόβατα ὅσον θύματα, pecorum tantum, quantum ad sacrificia sufficeret.

§. 21. *εἴ τις*] V. ad V, 3, 3.

καθημένοις κύκλῳ] Scil. αὐτοῖς, eis sedentibus in orbem. V. ad I, 1, 7.

τρίποδες] mensae tripedes, quibus fercula imponebantur. V. Sturz. L. X. T. IV. p. 333.

οὗτοι δ' ἦσαν κρεῶν μ.] Deteriores libri FGHIKL itemque Aldina et Athenaeus II, 10. et IV, 13. dant οὗτοι δ' ὅσον εἴκοσι κρεῶν μ., quam scripturam retinendam censet Krügerus, postquam iam Schneiderus optimorum librorum scripturam, quam nos quoque cum Dindorfio et Poppone recepimus, restituit. Iure in illa scriptura male habet Dindorfium omissum ἦσαν; idem veretur, ne ea

στοὶ νενεμημένων· καὶ ἄρτοι ζυμῆτες μεγάλοι προςπεπε-
22 ρονημένοι ἦσαν πρὸς τοῖς κρέασι. Μάλιστα δ' αἱ τρά-
πεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο· νόμος γὰρ ἦν. Καὶ
πρῶτος τοῦτο ἐποίει Σεύθης καὶ ἀνελόμενος τοὺς ἑαυ-
τῷ παρακειμένους ἄρτους διέκλα κατὰ μικρὸν καὶ διεῤ-
ῥίπτει, οἷς αὐτῷ ἐδόκει, καὶ τὰ κρέα ὡςαύτως, ὅσον μό-
23 νον γεύσασθαι ἑαυτῷ καταλιπών. Καὶ οἱ ἄλλοι δὲ κατὰ
ταὐτὰ ἐποίουν, καθ' οὓς καὶ αἱ τράπεζαι ἔκειντο. Ἀρκὰς
δέ τις Ἀρύστας ὄνομα, φαγεῖν δεινός, τὸ μὲν διαῤῥιπτεῖν
εἴα χαίρειν, λαβὼν δὲ εἰς τὴν χεῖρα ὅσον τριχοίνικον ἄρ-
24 τον καὶ κρέα θέμενος ἐπὶ τὰ γόνατα ἐδείπνει. Κέρατα δὲ
οἴνου περιέφερον, καὶ πάντες ἐδέχοντο· ὁ δ' Ἀρύστας,
ἐπεὶ παρ' αὐτὸν φέρων τὸ κέρας ὁ οἰνοχόος ἧκεν, εἶπεν
ἰδὼν τὸν Ξενοφῶντα οὐκέτι δειπνοῦντα· Ἐκείνῳ, ἔφη,
25 δός· σχολάζει γὰρ ἤδη, ἐγὼ δὲ οὐδέπω. Ἀκούσας Σεύ-

ζυμῆτες] v. adn. — §. 22. ἀεί] αἰεί AFGIKL, v. ad II, 3, 13. — καὶ ἀνελόμενος] v. adn. — τοὺς ἑαυτῷ παρακ.] sic AB pro τοὺς παρακ. αὐτῷ; utrumque recte se habet, v. ad I, 2, 14. et ad IV, 2, 18. — διεῤῥίπτει] ἐῤῥίπτει ABEHIKL et Ald. — §. 23. ταὐτά] Codd. ταῦτα; τὰ αὐτά Athenaeus. — διαῤῥιπτεῖν] sic Athenaeus; codd. διαῤῥίπτειν. — §. 24. ἧκεν] sic ABDEQ et Eustath. pro ἦν. — οὐδέπω] sic ABE pro οὔπω. — §. 25. Σεύθης] sic AB pro ὁ Σ. — λέγει] sic ab correctore illata fuerit in Athenaeum.

ζυμῆτες] H. e. fermentati. Scripturam a nobis exhibitam tuentur optimi codd. ABDE itemque Athenaei edit. Venet. c. codd., quae habet ζύμητες (Bas. ζύμηται). Etiam in Pollucis Onomastico VI, 72. codices dant ζυμῆτες, v. ibi interpp. in ed. Dindorf. Vol. V. Part. I. p. 92. Reliqui codices habent ζυμῖται, quod in editiones migravit, itemque legitur in Pollucis Onom. VI, 32.; ἄρτον ζυμίτην commemorant etiam Suidas et Phavorinus; ex hoc loco Etym. M. h. v. affert: οἷον ἄρτοι ζυμῆται οἱ μεγάλοι; Hesychius denique: ζυμήεις ἄρτος· Ἀθήνησι ζυμίτης ἄρτος οὕτως καλεῖται.

μεγάλοι] §. 23. ὅσον τριχοίνικον ἄρτον. De v. χοῖνιξ v. ad I, 5, 6.

§. 22. Μάλιστα] Hoc vocabulum pertinet ad κατὰ τοὺς ξένους: maxime (in primis) hospitibus mensae apponebantur. Αἱ τράπεζαι igitur idem significant, quod antea οἱ τρίποδες; at Hutchinsonus τὰς τραπέζας interpretatur fercula, lances, comp. Polluc. Onom. VI, 84: τραπέζας δὲ ἐκάλουν καὶ τὰ σιτία τὰ ἐπ' αὐτῶν τιθέμενα, ubi v. interpp.

Καὶ πρῶτος τοῦτο ἐποίει Σεύθης] Τοῦτο non ad antecedentia, sed ad sequentia referendum est, v. ad II, 5, 10. Fateor quidem collocationem huius vocabuli incommodam esse; nam exspectamus: καὶ πρῶτος ἐποίει Σεύθης τοῦτο; sed ob eam caussam locum corruptum esse censenti Krügero assentiri non possum; is enim post νόμος γὰρ ἦν excidisse putat τούτους δια-

θης τὴν φωνὴν ἠρώτα τὸν οἰνοχόον, τί λέγει. Ὁ δ' οἰνοχόος εἶπεν· ἑλληνίζειν γὰρ ἠπίστατο. Ἐνταῦθα μὲν δὴ γέλως ἐγένετο.

Ἐπειδὴ δὲ προὐχώρει ὁ πότος, εἰςῆλθεν ἀνὴρ Θρᾷξ 26
ἵππον ἔχων λευκὸν καὶ λαβὼν κέρας μεστὸν εἶπε· Προπίνω σοι, ὦ Σεύθη, καὶ τὸν ἵππον τοῦτον δωροῦμαι, ἐφ' οὗ καὶ διώκων, ὃν ἂν θέλῃς, αἱρήσεις καὶ ἀποχωρῶν
οὐ μὴ δείσῃς τὸν πολέμιον. Ἄλλος παῖδα εἰςαγαγὼν οὕ- 27
τως ἐδωρήσατο προπίνων, καὶ ἄλλος ἱμάτια τῇ γυναικί. Καὶ Τιμασίων προπίνων ἐδωρήσατο φιάλην τε ἀργυρᾶν
καὶ ταπίδα ἀξίαν δέκα μνῶν. Γνήσιππος δέ τις Ἀθη- 28
ναῖος ἀναστὰς εἶπεν, ὅτι ἀρχαῖος εἴη νόμος κάλλιστος τοὺς μὲν ἔχοντας διδόναι τῷ βασιλεῖ τιμῆς ἕνεκα, τοῖς δὲ μὴ ἔχουσι διδόναι τὸν βασιλέα, ἵνα καὶ ἐγώ, ἔφη, ἔχω σοι
δωρεῖσθαι καὶ τιμᾶν. Ὁ δὲ Ξενοφῶν ἠπορεῖτο, τί ποιή- 29

AB pro *λέγοι*, v. ad I, 3, 14. — *δή*] sic AB et Athenaeus pro *ἤδη*. — §. 26. *Ἐπειδὴ δέ*] sic AB; *ἐπειδή* E; reliqui *ἐπεὶ δέ*. — *θέλῃς*] sic AB pro *ἐθέλῃς*, v. var. scr. I, 3, 6. — §. 27. *εἰςαγαγών*] sic BN et Athenaeus; *εἰςάγων* AD; reliqui *ἀγαγών*. — *φιάλην τε*] sic ABD et Athen.; reliqui om. *τέ*. — *ταπίδα*] v. adn. — §. 28. *καὶ ἐγώ*] sic AB pro *κἀγώ*. — *ἔχω σοι*] sic AB pro *σοὶ ἔχω*. — §. 29. *τί*] sic ADEN pro *ὅ τι*, v. ad I, 3, 18. — *ποιήσει*] v. adn.

νέμειν aut simile quid. Durities illius collocationis tolletur, si ex A et B restituetur scriptura *καὶ ἀνελόμενος*. Particulam *καί* editores cum reliquis codd. omittunt. Haec particula saepe vim explicativam habet. V. ad I, 9, 6.

διεῤῥίπτει] disiiciens distribuebat (*zuwerfen*).

ὅσον μόνον γεύσασθαι ἑαυτῷ καταλιπών] tantum sibi relinquens, quantum satis esset ad gustandum. V. ad IV, 1, 5.

§. 23. *εἴα χαίρειν*] praetermittebat, spernebat, non curabat. V. Sturz. L. X. T. IV. p. 521.

ὅσον τριχοίνικον ἄρτον] V. ad I, 8, 6.

§. 26. *οὐ μή*] V. ad II, 2, 12.

§. 27. *Ἄλλος*] De asyndeto v. ad I, 8, 9.

ταπίδα] Sic auctore Poppone cum IKL (Athenaeus habet *κοπίδα*) scripsi pro *τάπιδα*. Idem error etiam §. 18. a nobis correctus est. Si enim *τάπις* paroxytonon esset, accusativus exire debebat in *ιν* (*τάπιν*). V. nos in Gr. T. II. §. 273, 3. (Gr. schol. §. 53, 3. b.) Perversus tenor originem suam debere videtur vocabulo *ὁ τάπης, τάπητος*.

§. 28. *ἵνα — ἔχω*] Sententia aliqua mente supplenda est, ut: dico tibi hoc aut peto abs te hoc.

§. 29. *ἠπορεῖτο, τί ποιήσει*] Pro vulgato *ποιήσοι* cum A et B scripsi *ποιήσει*. Post verba dubitandi optativus futuri male se habet; aut coniunctivus aut optativus praesentis aoristive aut indicativus futuri legitimi sunt.

σει· καὶ γὰρ ἐτύγχανεν ὡς τιμώμενος ἐν τῷ πλησιαιτάτῳ
δίφρῳ Σεύθῃ καθήμενος. Ὁ δὲ Ἡρακλείδης ἐκέλευεν
30 αὐτῷ τὸ κέρας ὀρέξαι τὸν οἰνοχόον. Ὁ δὲ Ξενοφῶν, ἤδη
γὰρ ὑποπεπωκὼς ἐτύγχανεν, ἀνέστη θαῤῥαλέως δεξάμε-
νος τὸ κέρας καὶ εἶπεν· Ἐγὼ δέ σοι, ὦ Σεύθη, δίδωμι
ἐμαυτὸν καὶ τοὺς ἐμοὺς τούτους ἑταίρους φίλους εἶναι
πιστούς, καὶ οὐδένα ἄκοντα, ἀλλὰ πάντας μᾶλλον ἔτι
31 ἐμοῦ σοι βουλομένους φίλους εἶναι. Καὶ νῦν πάρεισιν
οὐδέν σε προσαιτοῦντες, ἀλλὰ καὶ προϊέμενοι καὶ πονεῖν

πλησιαιτάτῳ] πλησιωτάτω BD; πλησιεστάτῳ A, sed in marg. πλησιαιτάτω. — **ἐκέλευεν**] sic AB pro ἐκέλευσεν, v. ad II, 5, 1. — §. 30. **μᾶλλον ἔτι**] sic ABCDENO; reliqui om. ἔτι. — §. 31. **προϊέμενοι**] sic ABEQ pro προςέμενοι. — **ἐθέλοντες**] sic ABE; θέλοντες Q; reliqui om. — **ἄν**] ἐάν deteriores codd. — **γυναῖκας κατακτήσῃ**] sic optime e coni. Dind.; γυν. καταστήσῃ A (I?) HKLN et Ald.; γυν. καλὰς καταστήσῃ FG; reliqui γυν. καλὰς κτήσῃ. Et ineptas hic esse iure censet Dind. formosas mulieres, quae numero tantum censentur,

§. 30. **ὑποπεπωκὼς ἐτύγχανεν**] subbiberat, h. e. iusto largius biberat. V. Sturz. T. IV. p. 401.

τοὺς ἐμοὺς τούτους ἑταίρους] meosque quos hic vides socios. De interiecto τούτους v. nos in Gr. T. II. §. 488. not. (Gr. schol. §. 246. not. 2.)

§. 31. **προϊέμενοι**] se periculis obiicientes.

§. 32. **συγκατεσκεδάσατο μετ' αὐτοῦ τὸ κέρας**] Sic scripsi cum Athenaeo IV. c. 35. p. 151., qui universum hunc locum inde a §. 21. prope ad litteram exscripsit, et cum Eustathio ad Hom. p. 707. 47., qui verba ἀναστὰς — κέρας attulit; neque aliter legitur in Suidae codice Leidensi (male in edd. συγκατεσκεδάσατο τὸ μετ' αὐτοῦ κέρας); neque multum dissentit Phavorinus, qui habet συγκατασκεδώσατο μετ' αὐτοῦ τὸ κ. Ad scripturam a nobis datam proxime accedit ea, quam Bornemannus dedit ex A et N: συγκατεσκεδάσατο μετὰ τοῦτο τὸ κέρας, quam scripturam etiam BDE habent, nisi quod voculam τό omittunt, quae ob ultimam antecedentis vocabuli syllabam facillime excidere potuit. Iam ante eum Dindorfius ediderat: κατεσκεδάσατο μετὰ τοῦτο τὸ κέρας, deleta syllaba συγ; „nam vix credibile est", inquit, „imitatum esse Xenophontem morem Thracium, multo autem minus praeivisse Seuthae sibi haud dubie nusquam cognitum; indicaret id autem συγκατεσκεδάσατο, sicut bibendo eum Seuthae praeivisse indicat, quod Seuthes dicitur συνεκπιεῖν ei. Atque decompositum illud nec repertum est alibi, et facillime per praecedens συνεξέπιε irrepere potuit." Ego libere profiteor haec syllabae συγ delendae argumenta mihi videri levissima. Iam vero quaero, quid sibi velint verba μετὰ τοῦτο. Nonne ieiuna plane sunt atque supervacanea, atque etiam alieno loco posita? Scripturam a nobis datam μετ' αὐτοῦ confirmant etiam FGHIL et Aldina, in quibus legitur συγκατεσκέδασε τῷ μετ' αὐτοῦ τὸ κέρας, porro K, qui habet συγκατεσκευάδασε τῷ μεθ' αὐτοῦ

ὑπὲρ σοῦ καὶ προκινδυνεύειν ἐθέλοντες· μεθ᾽ ὧν, ἂν
οἱ θεοὶ θέλωσι, πολλὴν χώραν τὴν μὲν ἀπολήψῃ πα-
τρῴαν οὖσαν, τὴν δὲ κτήσῃ, πολλοὺς δὲ ἵππους, πολ-
λοὺς δὲ ἄνδρας καὶ γυναῖκας κατακτήσῃ, οὓς οὐ λῄζε-
σθαι δεήσει, ἀλλ᾽ αὐτοὶ φέροντες παρέσονται πρὸς σὲ
δῶρα. Ἀναστὰς ὁ Σεύθης συνεξέπιε καὶ συγκατεσκεδά- 32
σατο μετ᾽ αὐτοῦ τὸ κέρας. Μετὰ ταῦτα εἰςῆλθον κέρασί
τε, οἵοις σημαίνουσιν, αὐλοῦντες καὶ σάλπιγξιν ὠμοβοΐ-
ναις ῥυθμούς τε καὶ οἷον μαγάδι σαλπίζοντες. Καὶ αὐ- 33

nec *καταστήσῃ* commodum. — *ληΐζεσθαι*] *ληΐζεσθαί σε* ABDE, et paullo post ante *δῶρα* eidem codd. om. *σέ*. — §. 32. *Ἀναστάς*] *Καὶ ὁ Σεύθης ἀναστάς* Athenaeus. — *συνεξέπιε*] *συνέπιε* Athen., Phot., Suid. v. *κατασκεδάζειν*. — *συγκατεσκεδάσατο κτλ.*] v. adn. — *κέρασί τε οἵοις σημαίνουσιν αὐλοῦντες καί*] sic AC, Athenaeus et B, sed hic *οἷοι*; reliqui *Κερασουνταῖοι οἱ σημαίνουσιν αὐλοῖς τε καί*, nisi quod E *αὐλοῦντες καί* habet. — *μαγάδι*] *μεγάδιν* BE; *μιγάδιν* A.

τὸ κέρας, quodammodo etiam Photius, in quo est *συγκατεσκεδάσατο αὐτοῦ τὸ κ.* *Μετά* praepositio cum genitivo iuncta egregie significat communionem actionis cum altero. Cf. Plat. Criton. p. 46. D: *ἐπιθυμῶ δ᾽ ἔγωγε ἐπισκέψασθαι, ὦ Κρίτων, κοινῇ μετὰ σοῦ.* Plura dedimus in Gr. T. II. §. 614. I. Clarissimam nostro loco affundit lucem Plat. Legg. I. p. 637. E: *Σκύθαι δὲ καὶ Θρᾷκες ἀκράτῳ παντάπασι χρώμενοι γυναῖκές τε καὶ αὐτοὶ καὶ κατὰ τῶν ἱματίων καταχεόμενοι καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασι.* Medium *καταχεόμενοι* stabilit scripturam *συγκατεσκεδάσατο* demonstratque reiiciendam esse coniecturam a Piersono ad Moer. p. 217. et Toupio emend. in Suid. p. 212. propositam *συγκατεσκέδασε τῶν μετ᾽ αὐτοῦ τὸ κέρας*. Nam medium indicat in sua Thraces, non convivarum vestimenta id infudisse vini, quod, vino exhausto, in poculo residebat. Inducti sunt viri docti verbis, quae in scholiis ad Platon. l. d., apud Photium et Suidam v. *κατασκεδάζειν* leguntur: *ἔθος ἦν Θρᾴκιον ἐν τοῖς συμποσίοις, ἵνα, ὅταν πίωσι τοῦ οἴνου, οἱ συμπόται, ὅσον δύνανται, τὸ λοιπὸν τοῦ οἴνου καταχέωσι κατὰ τῶν ἱματίων τῶν συμποτῶν, ὅπερ ἔλεγον κατασκεδάζειν· οὕτω Ξενοφῶν ἐν τῷ ζ᾽ τῆς τοῦ Κύρου ἀναβάσεως.* Krügerus in ed. min. edidit: *κατεσκεδάσατο τῶν μετ᾽ αὐτοῦ τὸ κ.*, unde parum proficitur. Weiskius retinet deteriorum librorum scripturam: *τῷ μετ᾽ αὐτοῦ*, sc. *ἐκπιόντι*, ut dativus pendeat a *σύν* praepositione verbi, quae ostendat Seuthen honorifice et amice propinationem Xenophontis accepisse.

εἰςῆλθον κέρασι κτέ.] H. e. ingressi sunt (homines) eiusmodi cornibus, quibus in exercitu signa dantur, et tubis de crudo bovis corio factis canentes. Ad *εἰςῆλθον* pronomen indefinitum *τινές* suppleri opus non est, quum id lateat in participio *αὐλοῦντες*. V. ad IV, 3, 10.

ῥυθμούς τε καὶ οἷον μαγάδι σαλπίζοντες] Haec verba sic accipienda videntur:

τὸς Σεύθης ἀναστὰς ἀνέκραγέ τε πολεμικὸν καὶ ἐξήλατο ὥςπερ βέλος φυλαττόμενος μάλα ἐλαφρῶς. Εἰςήεσαν δὲ καὶ γελωτοποιοί.

34 Ὡς δ' ἦν ἥλιος ἐπὶ δυσμαῖς, ἀνέστησαν οἱ Ἕλληνες καὶ εἶπον, ὅτι ὥρα νυκτοφύλακας καθιστάναι καὶ σύνθημα παραδιδόναι. Καὶ Σεύθην ἐκέλευον παραγγεῖλαι, ὅπως εἰς τὰ Ἑλληνικὰ στρατόπεδα μηδεὶς τῶν Θρᾳκῶν εἴςεισι νυκτός· οἵ τε γὰρ πολέμιοι Θρᾷκες ὑμῖν καὶ ἡμῖν

35 οἱ φίλοι. Ὡς δ' ἐξήεσαν, συνανέστη ὁ Σεύθης οὐδὲν ἔτι μεθύοντι ἐοικώς. Ἐξελθὼν δ' εἶπεν αὐτοὺς τοὺς στρατηγοὺς ἀποκαλέσας· Ὦ ἄνδρες, οἱ πολέμιοι ἡμῶν οὐκ ἴσασί πω τὴν ἡμετέραν συμμαχίαν· ἢν οὖν ἔλθωμεν ἐπ'

§. 34. δυσμαῖς] δυσμάς AFGHIKL et Ald. — ὥρα] sic ABE pro ὥρα εἴη. — ὑμῖν κ. ἡμῖν] v. adn. — §. 35. οὐδὲν ἔτι] v. adn. — αὐτοὺς τούς] αὐτὸς οὗτος ABDE. — ἡμετέραν] sic Castellio pro ὑμετέραν. — μάλιστα ἄν] om. E; ἄν om. AB. — καὶ ἀνθρώπ. κ. χρ.] sic AB pro χρήματα καὶ ἀνθρ. — §. 36. ἀναμένετε] sic AB pro ἀναμενεῖτε. —

cornibus et tubis ita utebantur, ut et numeros (*den Takt*) indicarent, et cantum ederent similem ei, qui magade efficitur. De *μαγάδι* v. Sturz. L. X. T. III. p. 64. et quem Poppo laudavit Boeckhium in Commentt. metrr. in Pindar. p. 261 sqq. Halbkartus hunc locum sic vertit: „*Hierauf traten Leute herein, die auf Hörnern — bliesen und mit Trompeten — den Takt und gleichsam die Oktave angaben*", addita hac adnotatione: „*Ich denke mir nämlich, dafs, wie sonst die Magadis, so auch hier die Schlauchtrompeten nur nach bestimmten Intervallen einfielen, ungefähr wie bei der Janitscharenmusik die Becken, und dafs Xenophon dies ῥυθμοὺς σαλπίζειν nennt. Dafs diese Musik ein Beginnzeichen (Signal) sein sollte, — glaube ich daraus schliefsen zu dürfen, weil Seuthes sogleich aufsteht, mit einem Kriegsruf gleichsam darauf antwortet und dann eine mimische Vorstellung giebt.*" De forma *μαγάδι* v. nos in Gr. T. I. §. 288. not. 7. (ubi tamen *μάγαδι* mutandum est in *μαγάδῑ*) et in Gr. schol. §. 63. not. 5. Cf. ad VII, 8, 12. Poppo, allato Stephano in Append. ad Thes.: „Notandum est Phyllidem in obliquis dicere et *μάγαδιν* et *μαγάδιδα*, in dativo *μαγάδι*", miram tamen hanc formam apud Xenophontem esse putat; nam licet *τύρσιος* et *Συεννέσιος* dixerit (v. ad VII, 8, 12.), tamen haec nomina etiam in reliquis casibus vocalem puram habere solere, non, ut nostrum (*μάγαδις, ιδος*), in solo dativo, qui vel in illis in *ει* nonnunquam transeat. Quocirca *μαγάδιδι* aut saltem *μαγάδει* restituendum censet. Ego nihil mutandum existimo, quum hoc vocabulum non Graecae originis esse videatur atque ob eam caussam etiam a vulgari lege deflectere possit. Recte hoc vocabulum eiusque declinationem Heilandus de dial. Xen. p. 7. ad Dorienses referre videtur.

§. 33. ἀνέκραγε — πολε-

αὐτούς, πρὶν φυλάξασθαι, ὥςτε μὴ ληφθῆναι, ἢ παρα-
σκευάσασθαι, ὥςτε ἀμύνασθαι, μάλιστα ἂν λάβοιμεν καὶ
ἀνθρώπους καὶ χρήματα. Συνεπῄνουν ταῦτα οἱ στρα- 36
τηγοὶ καὶ ἡγεῖσθαι ἐκέλευον. Ὁ δ' εἶπε· Παρασκευασά-
μενοι ἀναμένετε· ἐγὼ δέ, ὁπόταν καιρὸς ᾖ, ἥξω πρὸς
ὑμᾶς καὶ τοὺς πελταστὰς καὶ ὑμᾶς ἀναλαβὼν ἡγήσομαι
σὺν τοῖς θεοῖς. Καὶ ὁ Ξενοφῶν εἶπε· Σκέψαι τοίνυν, εἴ- 37
περ νυκτὸς πορευσόμεθα, εἰ ὁ Ἑλληνικὸς νόμος κάλλιον
ἔχει· μεθ' ἡμέραν μὲν γὰρ ἐν ταῖς πορείαις ἡγεῖται τοῦ
στρατεύματος, ὁποῖον ἂν ἀεὶ πρὸς τὴν χώραν συμφέρῃ,
ἐάν τε ὁπλιτικόν, ἐάν τε πελταστικόν, ἐάν τε ἱππικόν·
νύκτωρ δὲ νόμος τοῖς Ἕλλησιν ἡγεῖσθαί ἐστι τὸ βραδύ-

ᾖ] sic ABDE pro εἴη. — πρός] sic ABEQ pro παρά. — §. 37. μεθ'] καθ' BDEQ. — ἡγεῖται] sic ABEQ pro ἡγεῖσθαι. — ὁποῖον ἂν ἀεί] ὁποῖον ἂν δεῖ ABE; reliqui ὁποῖον ἀεί. — συμφέρῃ] sic B correctus pro συμφέρει. — ἡγεῖσθαί ἐστι] sic AB pro ἐστὶν ἡγ.

μικόν] bellicum quiddam vociferatus est. V. nos in Gr. T. II. §. 548, 2. [Gr. schol. §. 278, 3. b.]

§. 34. σύνθημα] V. ad I, 8, 16.

παραγγεῖλαι, ὅπως — εἴςεισι] De παραγγέλλειν c. ὅπως et indicativo futuri (εἴςεισι enim habet, uti constat, vim futuri) v. Rost. §. 186, 4. Kühner. T. II. §. 776, 1. (Gr. schol. §. 330, 6.)

ὑμῖν καὶ ἡμῖν] Sic Dindorfius cum ABDEN pro vulg. ἡμῖν καὶ ὑμεῖς scripsit. Bornemannus, qui secutus est Dindorfium, interpretatur receptam scripturam sic: e Thracum genere tam vestri hostes sunt, quam nostri amici. Alteram scripturam Zeunius vertit sic: nam non minus Thraces sunt hostes, quam vos amici; Weiskius: nam et hostes nostri e Thracum genere sunt, et vos amici nostri e Thracum item estis genere (adeo, ut vos in tenebris pro hostibus habere possimus). De obliquae orationis in rectam transitu v. ad I, 3, 14.

§. 35. οὐδὲν ἔτι] nullo modo adhuc. Pro οὐδὲν ἔτι, quod tuentur ABDEN, reliqui habent οὐδέν τι, quod per se minime improbandum est. Cf. infra VII, 6, 26: ἐδυνάμεθα σῖτον λαμβάνειν οὐδέν τι ἄφθονον. Cf. Breitenbachium ad Xen. Oecon. III, 8. Kühner. Gr. T. II. §. 557. not. 4. (Gr. schol. §. 279. not. 10.)

αὐτοὺς τοὺς στρατηγοὺς ἀποκαλέσας] sevocatis ducibus solis. V. ad II, 2, 1.

ἣν — ἔλθωμεν —, μάλιστα ἂν λάβοιμεν] V. nos in Gr. T. II. §. 818, 2. b. [Gr. schol. §. 339, 3. a. α.] Cf. infra VII, 5, 10.

§. 36. σὺν τοῖς θεοῖς] V. ad III, 2, 8. De collocatione enuntiationum εἴπερ — πορευσόμεθα, εἰ — ἔχει v. ad III, 2, 31. et de εἰ affirmativo ad III, 2, 22.

§. 37. μεθ' ἡμέραν κτἑ.] Interdiu in itineribus in primo exercitus agmine sunt, ut pro cuiusque regionis ratione expedit, si-

38 τατον· οὕτω γὰρ ἥκιστα διασπᾶται τὰ στρατεύματα καὶ
ἥκιστα λανθάνουσιν ἀποδιδράσκοντες ἀλλήλους· οἱ δὲ
διασπασθέντες πολλάκις καὶ περιπίπτουσιν ἀλλήλοις καὶ
39 ἀγνοοῦντες κακῶς ποιοῦσι καὶ πάσχουσιν. Εἶπεν οὖν
Σεύθης· Ὀρθῶς λέγετε, καὶ ἐγὼ τῷ νόμῳ τῷ ὑμετέρῳ
πείσομαι. Καὶ ὑμῖν μὲν ἡγεμόνας δώσω τῶν πρεσβυτά-
των τοὺς ἐμπειροτάτους τῆς χώρας, αὐτὸς δ' ἐφέψομαι
τελευταῖος τοὺς ἵππους ἔχων· ταχὺ γὰρ πρῶτος, ἂν δέῃ,
παρέσομαι. Σύνθημα δ' εἶπον *Ἀθηναίαν* κατὰ τὴν
συγγένειαν. Ταῦτ' εἰπόντες ἀνεπαύοντο.

40 Ἡνίκα δ' ἦν ἀμφὶ μέσας νύκτας, παρῆν Σεύθης
ἔχων τοὺς ἱππέας τεθωρακισμένους καὶ τοὺς πελταστὰς
σὺν τοῖς ὅπλοις. Καὶ ἐπεὶ παρέδωκε τοὺς ἡγεμόνας, οἱ
μὲν ὁπλῖται ἡγοῦντο, οἱ δὲ πελτασταὶ εἵποντο, οἱ δ' ἱπ-
41 πεῖς ὠπισθοφυλάκουν. Ἐπεὶ δ' ἡμέρα ἦν, ὁ Σεύθης
παρήλαυνεν εἰς τὸ πρόσθεν καὶ ἐπῄνεσε τὸν Ἑλληνικὸν
νόμον· πολλάκις γὰρ ἔφη νύκτωρ αὐτὸς καὶ σὺν ὀλίγοις
πορευόμενος ἀποσπασθῆναι σὺν τοῖς ἵπποις ἀπὸ τῶν
πεζῶν· νῦν δ', ὥσπερ δεῖ, ἀθρόοι πάντες ἅμα τῇ ἡμέρᾳ
φαινόμεθα. Ἀλλὰ ὑμεῖς μὲν περιμένετε αὐτοῦ καὶ ανα-
42 παύεσθε, ἐγὼ δὲ σκεψάμενός τι ἥξω. Ταῦτ' εἰπὼν ἤλαυνε

§. 39. Ὀρθῶς] sic AB pro ὀρθῶς τε, quod per se optime se habet. — ἐγώ] sic AB; reliqui om. — Ἀθηναίαν] v. adn. — §. 42. ἐσκέψατο, εἰ] sic ABE pro ἐσκ. ἐν τῇ ὁδῷ, εἰ. — πρόσω ἡγούμενα] sic ABE pro προηγούμενα. — ἧκε] sic ABDE pro ἥκει. — §. 43. Ἄνδρες καλῶς] sic ABE pro καλῶς ὦ ἄνδρ. — ἢν] sic ABD pro ἐάν. — λειφθῆτε] ἔ-

ve gravis armaturae milites, sive cetrati, sive equites. De re comparant Cyrop. V, 3, 37.

§. 39. εἶπον] Sc. Thraces, aut Seuthes ducesque, aut, quod mihi maxime placet, Seuthes et Xenophon, inter quos sine dubio de illa tessera conventum erat.

Ἀθηναίαν] Sic BDEN; Ἀθηναίων A; Ἀθηναῖον FGH (hic correctus) IK; reliqui Ἀθηναῖοι. Iam Porsonus scripturam, quam recepimus, restituendam censuerat, formam poeticam a Xenophonte minime abiudicandam docens, comp. Aristoph. Av. 829. 1652. Eq. 760. Plat. Euthydem. p. 82, 12. ed. Oxon., cui restituendum Ἀθηναίῃ ex Eustath. ad Odyss. III. p. 1456, 50. Schaeferus ad Gregor. Cor. p. 394 addit: Aristoph. Pac. 271: ὦ πότνια δέσποιν' Ἀθηναία, comp. H. Stephan. Append. de dial. Att. p. 236. Θηβαία, Eustath. ad Hom. Il. p. 458, 8. ed. Bas. Νικαία, Phot. Lex. c. 219. extr. Νικαίην, νίκην. Pro Ἀθηναίαν Dindorfius auctore Schaefero edidit Ἀθηναία, quum Cyrop. III, 3, 58. VII, 1, 10. nominativus de tessera mili-

δι' ὄρους ὁδόν τινα λαβών. Ἐπεὶ δ' ἀφίκετο εἰς χιόνα
πολλήν, ἐσκέψατο, εἰ εἴη ἴχνη ἀνθρώπων ἢ πρόσω ἡγού-
μενα ἢ ἐναντία. Ἐπεὶ δὲ ἀτριβῆ ἑώρα τὴν ὁδόν, ἧκε ταχὺ
πάλιν καὶ ἔλεγεν· Ἄνδρες, καλῶς ἔσται, ἢν θεὸς θέλῃ· 43
τοὺς γὰρ ἀνθρώπους λήσομεν ἐπιπεσόντες. Ἀλλ' ἐγὼ μὲν
ἡγήσομαι τοῖς ἵπποις, ὅπως, ἄν τινα ἴδωμεν, μὴ διαφυ-
γὼν σημήνῃ τοῖς πολεμίοις· ὑμεῖς δ' ἕπεσθε· κἂν λειφθῆ-
τε, τῷ στίβῳ τῶν ἵππων ἕπεσθε· ὑπερβάντες δὲ τὰ ὄρη
ἥξομεν εἰς κώμας πολλάς τε καὶ εὐδαίμονας.
Ἡνίκα δ' ἦν μέσον ἡμέρας, ἤδη τε ἦν ἐπὶ τοῖς 44
ἄκροις καὶ κατιδὼν τὰς κώμας ἧκεν ἐλαύνων πρὸς τοὺς
ὁπλίτας καὶ ἔλεγεν· Ἀφήσω ἤδη καταθεῖν τοὺς μὲν
ἱππέας εἰς τὸ πεδίον, τοὺς δὲ πελταστὰς ἐπὶ τὰς κώμας.
Ἀλλ' ἕπεσθε ὡς ἂν δύνησθε τάχιστα, ὅπως, ἐάν τις
ὑφιστῆται, ἀλέξησθε. Ἀκούσας ταῦτα ὁ Ξενοφῶν κα- 45
τέβη ἀπὸ τοῦ ἵππου. Καὶ ὃς ἤρετο· Τί καταβαίνεις,
ἐπεὶ σπεύδειν δεῖ; Οἶδα, ἔφη, ὅτι οὐκ ἐμοῦ μόνου δέῃ·
οἱ δ' ὁπλῖται θᾶττον δραμοῦνται καὶ ἥδιον, ἐὰν καὶ ἐγὼ
πεζὸς ἡγῶμαι. Μετὰ ταῦτα ᾤχετο καὶ Τιμασίων μετ' 46
αὐτοῦ ἔχων ἱππεῖς ὡς τετταράκοντα τῶν Ἑλλήνων. Ξε-
νοφῶν δὲ παρηγγύησε τοὺς εἰς τριάκοντα ἔτη παριέναι

φθητε A, ἐφθητε B; ἐφθῆτε DE; ληφθῆτε IK. — εἰς κώμας] sic AB pro εἰς τὰς κ. — πολλάς] τινάς ABE; hinc Born. coni. πολλάς τέ τινας κ. εὐδ. — §. 44. ἐάν] sic AB pro ἄν. — §. 45. μόνου] sic AB pro μόνον. — ἐάν] sic AB pro ἄν. — §. 46. ἱππεῖς] sic ABE pro ἱππέας, v. ad I, 5, 13. — τριάκοντα] πεντήκοντα EHIKLN.

tari positus sit. At haec caussa levioris momenti est.

κατὰ τὴν συγγένειαν] propter cognationem, qua Thraces cum Atheniensibus, Minervae cultoribus, iuncti erant. V. Krügerum de auth. p. 33. et adnotata in VII, 2, 31.

§. 40. νύκτας] V. ad I, 7, 1.

§. 41. καὶ σὺν ὀλίγοις πορευόμενος] H. e. vel quum cum paucis copiis iter faceret. De seq. ἀθρόοι πάντες v. ad V, 2, 1.

νῦν δὲ κτλ.] De obliquae orationis in rectam transitu v. ad I, 3, 14.

ἥξω] redibo. V. ad II, 1, 1.

§. 43. λήσομεν ἐπιπεσόντες] V. nos in Gr. schol. §. 257. d. Adde Madvig. Observatt. gramm. p. 46.

ἡγήσομαι τοῖς ἵπποις] praeibo cum equitibus. V. ad I, 6, 1. De dativo v. ad I, 8, 1.

§. 44. Ἀφήσω — καταθεῖν τοὺς — ἱππέας] dimittam equites, ut decurrant. Qui infinitivi usus apud Graecos frequentissimus notus est e grammaticis.

§. 45. Καὶ ὅς] V. ad I, 8, 16.

ἀπὸ τῶν λόχων εὐζώνους. Καὶ αὐτὸς μὲν ἐτρόχαζε τούτους ἔχων, Κλεάνωρ δ' ἡγεῖτο τῶν ἄλλων Ἑλλήνων.
47 Ἐπεὶ δ' ἐν ταῖς κώμαις ἦσαν, Σεύθης ἔχων ὅσον τριάκοντα ἱππέας προςελάσας εἶπε· Τάδε δή, ὦ Ξενοφῶν, ἃ σὺ ἔλεγες· ἔχονται οἱ ἄνθρωποι· ἀλλὰ γὰρ ἔρημοι οἱ ἱππεῖς οἴχονταί μοι ἄλλος ἄλλῃ διώκων, καὶ δέδοικα, μὴ συστάντες ἀθρόοι που κακόν τι ἐργάσωνται οἱ πολέμιοι. Δεῖ δὲ καὶ ἐν ταῖς κώμαις καταμένειν τινὰς ἡμῶν·
48 μεσταὶ γάρ εἰσιν ἀνθρώπων. Ἀλλ' ἐγὼ μέν, ἔφη ὁ Ξενοφῶν, σὺν οἷς ἔχω τὰ ἄκρα καταλήψομαι· σὺ δὲ Κλεάνορα κέλευε διὰ τοῦ πεδίου παρατεῖναι τὴν φάλαγγα παρὰ τὰς κώμας. Ἐπεὶ δὲ ταῦτα ἐποίησαν, συνηλίσθησαν ἀνδράποδα μὲν ὡς χίλια, βόες δὲ διςχίλιοι, πρόβατα ἄλλα μυρία. Τότε μὲν δὴ αὐτοῦ ηὐλίσθησαν.
1 IV. Τῇ δ' ὑστεραίᾳ κατακαύσας ὁ Σεύθης τὰς

λόχων] λοχαγῶν BEHN et Ald. — ἄλλων] om. AFGHIKL et Ald. — §. 47. τριάκοντα] sic ABDEMN pro πεντήκοντα. — ἱππέας] ἱππεῖς B. — ἔρημοι οἱ ἱππ.] sic AB pro οἱ ἱππ. ἔρ. — ἄλλῃ] sic ABDEN pro ἀλλαχῇ. — §. 48. Ἐπεὶ δέ] δέ om. AB. — συνηλίσθησαν] συνηυλ. BHIKLN et Ald. — ὡς] εἰς BE. — δέ] om. A. — πρόβατα ἄλλα] sic AB pro καὶ ἄλλα πρ. — Τότε μὲν δή] sic AB pro καὶ τότε μέν.
Cap. IV. §. 1. οἰκίαν οὐδεμ.] sic AB pro οὐδεμ. οἰκ. —

§. 46. ἐτρόχαζε] Hoc verbo, Atticistis improbato, saepius usus est Xenophon. V. Lobeck. ad Phryn. Parerg. p. 582 sq. Sturz. L. X. T. IV. p. 340.

§. 47. ὅσον] circiter. V. ad I, 8, 6.

Τάδε δή] Scil. ἐστίν. Haec iam evenerunt, quae tu dicebas. Retulit haec verba Zeunius ad Xenophontis monitum, quod supra §. 38. legimus, Schneiderus ad §. 37., Halbkartus ad Xenophontis orationem in superioribus praetermissam (cf. ad V, 7, 2.), Bornemannus denique ad §. 31., ubi inter alia etiam hoc praedixerat Xenophon: πολλοὺς δὲ ἵππους, πολλοὺς δὲ ἄνδρας καὶ γυναῖκας κατακτήσῃ, neque alio spectare putat Seuthae verba ἔχονται οἱ ἄνθρωποι.

ἔχονται οἱ ἄνθρωποι] capti tenentur hostes. De v. ἄνθρωποι v. ad III, 1, 23.

ἀλλὰ γάρ] at enim (aber freilich). V. ad III, 2, 25.

ἔρημοι οἱ ἱππεῖς οἴχονταί μοι] equites, a reliquis copiis disiuncti, dilapsi mihi sunt. De οἴχεσθαι v. ad I, 4, 8.; de dativo qui dicitur ethico v. nos ad Commentar. III, 6, 2.

ἄλλος — διώκων] V. ad I, 8, 27.

§. 48. πρόβατα ἄλλα] V. ad I, 5, 5.

Cap. IV. §. 1. ὅπως — ἐνθείη —, οἷα πείσονται, ἂν μὴ πείθωνται] Dictum pro

κώμας παντελῶς καὶ οἰκίαν οὐδεμίαν λιπὼν, ὅπως φόβον ἐνθείη καὶ τοῖς ἄλλοις, οἷα πείσονται, ἂν μὴ πείθωνται, ἀπῄει πάλιν. Καὶ τὴν μὲν λείαν ἀπέπεμψε δια- 2
τίθεσθαι Ἡρακλείδην εἰς Πέρινθον, ὅπως ἂν μισθὸς γένηται τοῖς στρατιώταις· αὐτὸς δὲ καὶ οἱ Ἕλληνες ἐστρατοπεδεύοντο ἀνὰ τὸ Θυνῶν πεδίον. Οἱ δ᾽ ἐκλιπόντες ἔφευγον εἰς τὰ ὄρη. Ἦν δὲ χιὼν πολλὴ καὶ ψῦ- 3
χος οὕτως, ὥςτε τὸ ὕδωρ, ὃ ἐφέροντο ἐπὶ δεῖπνον, ἐπήγνυτο καὶ ὁ οἶνος ἐν τοῖς ἀγγείοις, καὶ τῶν Ἑλλήνων πολλῶν καὶ ῥῖνες ἀπεκαίοντο καὶ ὦτα. Καὶ τότε δῆλον 4
ἐγένετο, οὗ ἕνεκα οἱ Θρᾷκες τὰς ἀλωπεκίδας ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι καὶ τοῖς ὠσί, καὶ χιτῶνας οὐ μόνον περὶ τοῖς στέρνοις, ἀλλὰ καὶ περὶ τοῖς μηροῖς, καὶ ζειρὰς μέχρι τῶν ποδῶν ἐπὶ τῶν ἵππων ἔχουσιν, ἀλλ᾽ οὐ χλαμύδας. Ἀφιεὶς δὲ τῶν αἰχμαλώτων ὁ Σεύθης εἰς τὰ 5

§. 2. Ἡρακλείδην] v. adn. — ὅπως ἂν μισθός] sic ABE; reliqui om. ἄν, v. ad II, 5, 16. — γένηται] γένοιτο BE. — ἐστρατοπεδεύοντο] sic ABDE pro ἐστρατοπεδεύσαντο. — ἀνὰ τό] εἰς τό B; om. AD. — §. 3. ὁ οἶνος] οἶνος ὁ B; ὁ οἶνος ὁ E. — καὶ ῥῖνες] αἱ ῥ. B; v. ad I, 4, 8. — ἀπεκαίοντο] sic LN, Ald., correctum H, correcti IK; ἀπεκρίναντο AD; ἀπεκείραντο BQ. — §. 4. τῶν ποδῶν] sic ABE, Etym. M. et Phot. pro ποδῶν.

vulgari: οἷα πείσοιντο, εἰ μὴ πείθοιντο. V. ad I, 3, 14. De οἷα πείσονται v. ad I, 7, 4.

§. 2. διατίθεσθαι] V. ad VI, 6, 37.

Ἡρακλείδην] Sic recte restitutum est ex A et B pro vulg. Ἡρακλείδῃ; nam Heraclides ad praedam vendendam Perinthum missus est. Cf. VII, 5, 2. De Heraclide cf. supra VII, 3, 15., de Perintho ad II, 6, 2.

ἐκλιπόντες] Sc. τὸ πεδίον. Cf. Breitenbach. ad Oecon. VII, 38.

§. 3. Ἦν — ψῦχος οὕτως] erat frigus tali modo. V. nos in Gr. T. II. §. 416, 3. (Gr. schol. §. 240. not. 2.)

ἀπεκαίοντο] V. ad IV, 5, 3.

§. 4. ἀλωπεκίδας] Cf. Herod. VII, 75. Ovid. Trist. III, 10, 19.

ζειράς] V. Sturz. L. X. T. II. p. 450. Ex Harpocrat.: ζειρά, ἤτοι σειρά, ὥς τινες, ἦν ἔνδυμά τι, ὃ ἐπενδύοντο μετὰ τοὺς χιτῶνας, ὥςπερ ἐφαπτίδας, Zeunius concludit τὰς ζειρὰς fuisse paenulas sive vestes exteriores usque ad pedes demissas et cingulo adstrictas, collato etiam Herodoto VII, 69., ubi de Arabibus dicit: ζειρὰς ὑπεζωσμένοι ἦσαν. Ex Etym. M.: ζειραί, χιτῶνες ἀνακεκολπωμένοι ἢ ἀνάκωλοι (tunicae in sinus retractae vel abscissae, non fimbriatae), atque ex hoc ipso Xenophontis loco idem concludit hoc genus vestimenti apud Graecos fuisse brevius.

§. 5. τῶν αἰχμαλώτων] V. ad I, 5, 7.

ὄρη ἔλεγεν, ὅτι, εἰ μὴ καταβήσονται οἰκήσοντες καὶ πεί-
σονται, ὅτι κατακαύσει καὶ τούτων τὰς κώμας καὶ τὸν
σῖτον, καὶ ἀπολοῦνται τῷ λιμῷ. Ἐκ τούτου κατέβαινον
καὶ γυναῖκες καὶ παῖδες καὶ πρεσβύτεροι· οἱ δὲ νεώτεροι
6 ἐν ταῖς ὑπὸ τὸ ὄρος κώμαις ηὐλίζοντο. Καὶ ὁ Σεύθης
καταμαθὼν ἐκέλευσε τὸν Ξενοφῶντα τῶν ὁπλιτῶν τοὺς
νεωτάτους λαβόντα συνεπισπέσθαι. Καὶ ἀναστάντες
τῆς νυκτὸς ἅμα τῇ ἡμέρᾳ παρῆσαν εἰς τὰς κώμας. Καὶ
οἱ μὲν πλεῖστοι ἐξέφυγον· πλησίον γὰρ ἦν τὸ ὄρος·
ὅσους δὲ ἔλαβε, κατηκόντισεν ἀφειδῶς Σεύθης.
7 Ἐπισθένης δ' ἦν τις Ὀλύνθιος παιδεραστής, ὃς
ἰδὼν παῖδα καλὸν ἡβάσκοντα ἄρτι, πέλτην ἔχοντα, μέλ-
λοντα ἀποθνήσκειν, προσδραμὼν Ξενοφῶντα ἱκέτευσε
8 βοηθῆσαι παιδὶ καλῷ. Καὶ ὃς προσελθὼν τῷ Σεύθῃ
δεῖται μὴ ἀποκτεῖναι τὸν παῖδα καὶ τοῦ Ἐπισθένους
διηγεῖται τὸν τρόπον, καὶ ὅτι λόχον ποτὲ συνελέξατο
σκοπῶν οὐδὲν ἄλλο, ἢ εἴ τινες εἶεν καλοί, καὶ μετὰ
9 τούτων ἦν ἀνὴρ ἀγαθός. Ὁ δὲ Σεύθης ἤρετο· Ἦ καὶ

§. 5. *οἰκήσοντες*] καὶ οἰκήσονται A; οἰκήσονται M; om. BN. — *καὶ πρεσβύτεροι*] sic ABE pro καὶ οἱ πρ. — §. 6. *ὁ — τόν*] om. B. — *συνεπισπέσθαι*] sic ABDEN pro συνέπεσθαι. — *εἰς τὰς κώμας*] sic ABD pro ἐπὶ ταῖς κώμαις; v. adn. — *ἔλαβε*] sic ABDEN pro κατέλαβον. — *ἀφειδῶς Σ.*] sic ABDEN pro ἅπαντας ὁ Σ. — §. 7. *παῖδα καλόν*] v. adn. — *ἱκέτευσε*] ἱκέτευε BD. — §. 8. *δεῖται*] v. adn. — §. 9. *θέλοις*] sic B; θέλεις A; reliqui ἐθέλοις, v. var.

εἰ μὴ καταβήσονται — πείσονται κτλ.] V. ad I, 3, 14. De repetito ὅτι v. ad III, 2, 25.

ἀπολοῦνται τῷ λιμῷ] Krügerus vertit: fame, quae inde esset exoritura. Supra I, 5, 5 in optimis codd. legitur: ἀπώλετο ὑπὸ λιμοῦ et II, 2, 11. in omnibus: ὑπὸ λιμοῦ ἀπολοίμεθα. Utrumque recte dicitur. V. Maetznerum ad Lycurg. p. 295.

ἐν ταῖς ὑπὸ τὸ ὄρος κώμαις] De ὑπό c. acc. iuncto v. Gr. T. II. §. 617, 3. (Gr. schol. §. 299. III.) Cf. §. 11.

§. 6. *παρῆσαν εἰς τὰς κώμας*] V. ad I, 2, 2.

§. 7. *Ἐπισθένης κτλ.*] Exspectes Ἐπισθένης δὲ Ὀλύνθιος παιδεραστὴς ὤν, ἰδὼν —, ἱκέτευσε. V. ad I, 9, 14.

παῖδα καλόν] Sic recte A et B pro καλὸν παῖδα; nam h. l. vis posita est in παῖδα.

§. 8. *Καὶ ὅς*] V. ad I, 8, 16.

δεῖται] Sic ABE pro δέεται, quam scripturam diu dubitavi reiicere; nam saepe Xenophontem in hoc verbo formas solutas admisisse demonstravi ad Commentar. I, 6, 10. Infra VII, 7, 31. δέεσθαι omnes codd. mordicus tenent. Cf. infra ad VII, 6, 37. πλέετε et Heiland. de dial. Xen. p. 19.

λόχον — καλοί] „Plato Symp.

θέλοις ἄν, ὦ Ἐπίσθενες, ὑπὲρ τούτου ἀποθανεῖν; Ὁ
δ' εἶπεν ἀνατείνας τὸν τράχηλον· Παῖε, ἔφη, εἰ κελεύει
ὁ παῖς καὶ μέλλει χάριν εἰδέναι. Ἐπήρετο ὁ Σεύθης 10
τὸν παῖδα, εἰ παίσειεν αὐτὸν ἀντὶ ἐκείνου. Οὐκ εἴα ὁ
παῖς, ἀλλ' ἱκέτευε μηδὲ ἕτερον κατακαίνειν. Ἐνταῦθα
ὁ Ἐπισθένης περιλαβὼν τὸν παῖδα εἶπεν· Ὥρα σοι, ὦ
Σεύθη, περὶ τοῦδέ μοι διαμάχεσθαι· οὐ γὰρ μεθήσω
τὸν παῖδα. Ὁ δὲ Σεύθης γελῶν ταῦτα μὲν εἴα· ἔδοξε 11
δ' αὐτῷ αὐτοῦ αὐλισθῆναι, ἵνα μηδ' ἐκ τούτων τῶν
κωμῶν οἱ ἐπὶ τοῦ ὄρους τρέφοιντο. Καὶ αὐτὸς μὲν ἐν
τῷ πεδίῳ ὑποκαταβὰς ἐσκήνου· ὁ δὲ Ξενοφῶν ἔχων
τοὺς ἐπιλέκτους ἐν τῇ ὑπὸ τὸ ὄρος ἀνωτάτω κώμῃ, καὶ
οἱ ἄλλοι Ἕλληνες ἐν τοῖς ὀρείοις καλουμένοις Θρᾳξὶ
πλησίον κατεσκήνησαν.

Ἐκ τούτου ἡμέραι οὐ πολλαὶ διετρίβοντο, καὶ οἱ 12
ἐκ τοῦ ὄρους Θρᾷκες καταβαίνοντες πρὸς τὸν Σεύθην
περὶ σπονδῶν καὶ ὁμήρων διεπράττοντο. Καὶ Ξενοφῶν

scr. I, 3, 6. — εἶπεν ἀνατείνας] sic B; ὑπὲρ ἀνατείνας A; reliqui ἐπανατείνας. — ἔφη] sic AB pro εἶπεν. — κελεύει] κελεύοι AB. — §. 10. Ἐνταῦθα] sic AB pro ἐνταῦθα δή. — §. 11. μηδ'] v. adn. — οἱ] om. AE. — ὁ δὲ Ξεν.] sic AB pro Ξεν. δέ. — ὀρείοις καλ.] v. adn. — §. 12. οὐ πολλαί] τὲ πολλαί ADEN; Schneid. et Dind. coni. τ' οὐ πολλαί. — σπονδ. κ. ὁμήρ.] sic AB pro ὁμήρ. κ. σπ. — Ξενοφῶν] ὁ Ξεν. AFG.

c. 6. εἰ οὖν μηχανή τις γένοιτο, inquit, ὥστε πόλιν γενέσθαι ἢ στρατόπεδον ἐραστῶν τε καὶ παιδικῶν, οὐκ ἔστιν, ὅπως ἂν ἄμεινον οἰκήσειαν τὴν ἑαυτῶν. Cf. Xen. Symp. VIII, 32. [ubi v. Bornemannum.]" ZEUN.

§. 10. εἰ παίσειεν] percuteretne. V. ad I, 10, 5.

ἀντὶ ἐκείνου] Exspectes ἀντὶ ἑαυτοῦ, at v. ad IV, 3, 20.

§. 11. μηδ' ἐκ τούτων] Sic recte A B D E N pro μὴ ἐκ τ., quod cur a Dindorfio praelatum sit, non intelligo. Dicit enim Xenophon μηδέ, quia iam supra §. 1. similis res commemorata est.

ἐν τοῖς ὀρ. καλουμένοις Θραξί] H. e. in agro Thracum, qui montani vocantur. Populi nomen saepe apud Graecos pro terrae nomine dici satis notum est. Recepimus cum Dindorfio ex Q ὀρείοις; eodem ducit scriptura ὀρίοις in B et E et ὁρίοις in A et D; reliqui habent ὀρεινοῖς. Cf. §. 21. Utraque forma usitata est Xenophonti, sed rarius legitur ὄρειος, quam ὀρεινός. V. Sturz. L. X. T. III. p. 319. Articulum τοῖς post ὀρείοις recte omiserunt A B D. Comparat Krügerus I, 8, 25. V, 4, 15. 9, 7. VII, 1, 33. 5, 1. 12.

§. 12. καὶ — διεπράττοντο] quum — egerunt. V. ad II, 1, 7. De οἱ ἐκ τοῦ ὄρους Θρᾷκες v. ad I, 1, 5. Cf. §. 13.

ἐλθὼν ἔλεγε τῷ Σεύθῃ, ὅτι ἐν πονηροῖς τόποις σκηνῷεν, καὶ πλησίον εἶεν οἱ πολέμιοι· ἥδιον δ' ἂν ἔξω αὐλίζεσθαι ἔφη ἐν ἐχυροῖς ἂν χωρίοις μᾶλλον ἢ ἐν τοῖς
